On the Composition of Drugs by Places: Book 9 by Galen of Pergamon

13.228 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Ι.*

Γίνονται μὲν ἰκτερικοὶ καὶ λόγῳ κρίσεως ἀγαθῆς ἐν πυρετοῖς, ἐπισκήψαντος τοῦ χυμοῦ τοῦ χολώδους πρὸς τὸ δέρμα καὶ ῥᾷστα παύονται λουτροῖς ὑδάτων ποτίμων, ἐλαίου τε διαφορητικοῦ τρίψει καὶ πάντων τῶν ἀραιούντων, ὁποῖόν ἐστι τὸ ἀνήθινον ἔλαιον καὶ τὸ χαμαιμήλινον καὶ τὸ κίκινον. ἐφεξῆς δὲ τούτων χρίσματα, γλεύκινόν τε
13.229 καὶ κομμαγηνὸν, εἶτα τὸ ἴρινον καὶ τὸ ἀμαράκινον. τὰς ἄλλας δὲ τὰς ὀνομαζομένας ἐξαιρέτως ἰκτερικὰς δυνάμεις οἱ γράψαντες οὐ πρὸς τοιούτους ἰκτερικοὺς ἁρμόττειν ἔφασαν, ἀλλὰ μάλιστα μὲν πρὸς τοὺς δι’ ἔμφραξιν τῶν κατὰ τὸ ἧπαρ ἀγγείων, ἤδη δὲ καὶ πρὸς τοὺς διὰ φλεγμονάς. οἱ μὲν οὖν δι’ ἔμφραξιν ἰκτεριῶντες ἀπύρετοι διαμένουσι, πάντως δὲ οἱ ἐπὶ φλεγμονῇ πυρέττουσιν. ὅσοι μὲν οὖν οἷς ἔγραψαν ἰκτερικοῖς φαρμάκοις προσέθεσαν ἐπὶ τίνων ἁρμόττειν ταῦτά φασιν, ὀρθῶς ἐποίησαν· ὅσοι δὲ ἀδιορίστως καὶ ἁπλῶς ἔγραψαν, ἥμαρτον οὐ σμικρά. τὰ γὰρ ἱκανῶς φαρμακώδη, καθάπερ γε καὶ τὰ θερμὰ ταῖς δυνάμεσι, βλάπτει μεγάλως τοὺς πυρέττοντας. ἔστι δὲ τοιαῦτα γεντιανὴ καὶ στρούθιον, ἑλένιόν τε καὶ κόστος, ἀριστολοχία τε καὶ πόλιον καὶ κενταύριον. ἁρμόττει δὲ τοῖς ἐπὶ φλεγμονῇ τοῦ ἥπατος ἰκτεριῶσιν, ὅσα φλεγμονὰς ἰᾶται. καθάπερ γε καὶ τοῖς ἐπ’ ἐμφράξει πάνθ’ ὅσα ῥύπτει γενναίως, εἰ καὶ φαρμακώδη τύχοι ταῖς οὐσίαις ὄντα καὶ θερμὰ ταῖς
13.230 δυνάμεσιν. ἐὰν δ’ εἰς ταὐτὸ συνέλθωσιν ἔμφραξίς τε καὶ φλεγμονὴ, τῶν χαλώντων τε ἅμα καὶ ῥυπτόντων ἐστὶ χρεία. φευκτέον δέ ἐστιν ὅσα φαρμακώδη ταῖς οὐσίαις καὶ θερμὰ ταῖς δυνάμεσίν ἐστι. γεγραμμένων οὖν καὶ τῶν ἰκτερικῶν φαρμάκων ἀδιορίστως, τοῖς πλείστοις τῶν πρὸ ἐμοῦ προσθήσω τοὺς οἰκείους διορισμοὺς ἑκάστῳ αὐτῶν, ὅπως εἰδῆτε τίσι μὲν ἀκίνδυνον ἐν πυρετοῖς χρῆσθαι, τίσι δὲ ἕπεται μείζων τις ἐκ τοῦ διαρρύπτειν ὠφέλεια ἢ ἐκ τοῦ παροξύνειν τὸν πυρετόν τε καὶ τὴν φλεγμονὴν γιγνομένη βλάβη.

Περὶ τῶν ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων ἰκτερικῶν φαρμάκων. Ἀδιορίστως ἔγραψεν ὁ Ἀνδρόμαχος τέσσαρα φάρμακα πρὸς ἰκτερικοὺς, ἀκίνδυνον μὲν ἐπὶ τῶν ἀπυρέτων ἔχοντα τὴν χρῆσιν, οὐκ ἀσφαλῆ δὲ ἐπὶ τῶν πυρεττόντων, καὶ μάλιστα ἐὰν δι᾽ οἴνου τις ταῦτα ᾖ οἰνομέλιτος δίδωσι, καθάπερ ἐνίοτε δίδομεν ἐπὶ μετρίοις μὲν πυρετοῖς ἐμφράξει τε τῇ κατὰ τὸ σπλάγχνον. ἀλλὰ δι᾽ ὀξυμέλιτος μὴ λίαν ὀξέος ἀσφαλέστερόν ἐστι τηνικαῦτα δίδοσθαι τὰ τοιαῦτα φάρμακα. ἔστι δὲ τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα φάρμακα τέσσαρα κατὰ τὴν ἐκείνου λέξιν αὐτοῦ
13.231 ὑπογεγραμμένα. πρὸς ἰκτερικούς. εἰς τὸ τῆς κολοκυνθίδος κέλυφος ἐμβαλὼν οἶνον καὶ θερμάνας, δίδου πιεῖν, ὑπάγει κοιλίαν. τὸ δ᾽ αὐτὸ καὶ λίβανος ποιεῖ. ἄλλο πρὸς ἰκτερικούς. ♃ ἀδιάντου τριώβολον, νάρδου ὀβολοὺς δύο, ἀψινθίου ‹ α′. σμύρνης τριώβολον, γλυκεῖ ἀναλάμβανε, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος εἰς ὕδατος κυάθους β′. ἄλλο πρὸς ἰκτερικοὺς ᾧ χρῶμαι. στρούθιον κρόκῳ χρῶσαι ἡλίκον κάρυον Ποντικὸν ἐν ὕδατι καὶ ὑδρομέλιτι, δίδοται δὲ καὶ ἄγχουσα πλῆθος κοχλιαρίου. ἄλλο πρὸς ἰκτερικοὺς, ὡς Ἀπολλώνιος. ♃ ὀρόβου ‹ κδ′. κέρατος ἐλαφείου κεκαυμένου ‹ η′. λιβάνου ‹ γ′. νάρδου Κελτικῆς ‹ β′. νάρδου Συριακῆς ‹ α′. πεπέρεως ‹ α′ ′′. σχοίνου ἄνθους ‹ α′. σμύρνης ὀβολοὺς β′. κόστου ὀβολοὺς β′. κασσίας ὀβολὸν α′. κινναμώμου ὀβολὸν ἕνα, χρῶ ξηρῷ σὺν οἰνομέλιτος κυάθοις τρισίν.

Περὶ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων ἰκτερικῶν φαρμάκων ἐν τῷ τρίτῳ τῶν ἐντός. Ἐξ ὧν ἔμπροσθεν εἴρηκα δῆλα, κἂν χωρὶς διορισμοῦ γράφηται τὰ φάρμακα, τίνα φευκτέον ἐστὶν ἐπὶ τῶν πυρεσσόντων. εἴωθε
13.232 δὲ ὁ Ἀσκληπιάδης ἐνίοτε διορίζεσθαι, προστιθεὶς τοῖς πυρέττουσι μὲν ὠδί πως δίδοσθαι χρῆναι τὸ φάρμακον, ἀπυρέτοις δὲ ὠδί πως. ἔνθα δὲ ὅλως οὐδὲν προστίθησιν, ἐπὶ τῶν ἀπυρέτων ἐστὶ μᾶλλον χρηστέον, ὥσπερ γε κἀπειδὰν δι᾽ οἴνου μόνου τὴν χρῆσιν ᾖ δι᾽ οἰνομέλιτος ἀξιώσαιμεν γενέσθαι, τὰ γὰρ τοιαῦτα τοῖς ἀπυρέτοις ἁρμόττει. ταῦτα δὲ τὰ γεγραμμένα πρὸς αὐτοῦ φάρμακα τάδε ἐστί. πότημα ἰκτερικοῖς. κιχωρίου χυλοῦ κυάθους στ′. δίδου πυρέττουσι μὲν καθ᾽ ἑαυτὸ, ἀπυρέτοις δὲ μετ᾽ οἴνου κυάθων γ′. ἄλλο. στρύχνου χυλοῦ κύαθον α′. καὶ οἰνομέλιτος κεκραμένου τὸ ἥμισυ. ἄλλο καταπαστόν. ἀγχούσης λειοτάτης κοχλιάρια β′. δίδου μεθ᾽ ὕδατος ποτίμου πίνειν. ἄλλο. στρουθίου κοχλιάριον ἓν

δίδου μετὰ μέλιτος κεκραμένου κυάθων γ′. Νικηράτου διουρητικόν. ⳨ ἐρεβίνθων ξηρῶν ξε. α′. λιβανωτίδος χειροπληθὲς, ὕδατος ξε. στ′. μαράθρου χειροπληθὲς, ἀσπαράγων ἐλείων ῥιζῶν τὸ χειροπληθές· σκεύαζε καὶ δίδου, ὡς εἴρηται, καθεψήσας καὶ διυλίσας τὸ ὑγρὸν, δίδου πυρέττουσι πίνειν διηνεκῶς, ἀπυρέτοις μετ᾽ οἴνου κεκραμένου. ἄλλο. ⳨
13.233 ἐρεβίνθων ξε. α ′ . ἀδιάντου χειροπληθὲς, ὕδατος ξε. στ′. ἀσπαράγων ἐλείων τῶν ῥιζῶν χειροπληθές· σκεύαζε καὶ δίδου καθὰ προείρηται.

Τροχίσκος ἰκτερικοῖς, ποιεῖ καὶ ἡπατικοῖς. ⳨ Ἀμυγδάλων πικρῶν κεκαθαρμένων ⩽ δ′. ἀνίσου, ἀψινθίου ἀνὰ ⩽ α′. νάρδου Ἰνδικῆς, ἀσάρου ἀνὰ ⩽ α′. κόψας καὶ σήσας, ὕδατι φυράσας, ἀνάπλαττε τροχίσκους καὶ δίδου ⩽ α′. ἀπυρέτοις μετ᾽ οἰνομέλιτος κυάθων τριῶν. ἄλλος, ᾧ ἐχρήσατο Χαριξένης. ⳨ ἀσάρου, ἀψινθίου ἀνὰ ⩽ η′. ἀνίσου σπέρματος, μαράθρου, σελίνου σπέρματος, θασίων πικρῶν κεκαθαρμένων ἀνὰ ⩽ δ′. ὕδατι φυράσας, ἀνάπλαττε τροχίσκους καὶ δίδου καθὰ προείρηται.

Νικηράτου ἔρρινον καθαρτικὸν ἰκτερικοῦ, ὅταν τὸ μὲν ἄλλο σῶμα κατὰ τὴν φύσιν ἔχῃ, οἱ δὲ ὀφθαλμοὶ μένωσιν ὠχροί. Δίδου ἐν βαλανείῳ ὄξους δριμυτάτου κοχλιάριον ἓν διὰ τῶν μυκτήρων ἀνέλκειν, ἀπορρεῖ χολῶδες πολύ. τοῦ αὐτοῦ. καρδάμου χλωροῦ τὰ ἁπαλὰ φύλλα ἢ λιβανωτίδος χλωρᾶς τὰ ἁπαλώτατα τρίψας καὶ τούτων τὸ ὑγρὸν ἐκθλίψας, χρῶ καθὰ
13.234 προείρηται. τοῦ αὐτοῦ. ἐλατήριον μετὰ γάλακτος γυναικείου τρίψας ἐγχυμάτιζε τοὺς μυκτῆρας καὶ κέλευε ἀνασπᾷν. ἄλλο. κυκλαμίνου χυλὸν ὕδατι λειώσας χρῶ καθὰ προείρηται.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα φάρμακα πρὸς ἰκτερικοὺς ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων. Ἐπὶ δὲ τῶν ἰκτερικῶν τῇ ἁρμοδίῳ διαίτῃ καὶ διαγωγῇ, διά τε περιπάτων ἱκανῶν καὶ πολλῆς τῆς ἐπὶ τοῖς ἀλείμμασι τρίψεως, ἔτι τε τῶν ξηρῶν πυριῶν, χρῶ καὶ τοῖς ὑπογεγραμμένοις. φασὶ τοὺς ἐν πυρετοῖς, ἐὰν ἰκτεριῶσιν, ἐσθίοντας τὸν πυρρὸν καρπὸν τῆς κυνοσβάτου ὠφελεῖσθαι παραχρῆμα καλῶς. ὠφελεῖ καὶ τῆς χελιδόνος βοτάνης ὁ χυλὸς μετ᾽ οἴνου ἢ ὑδρομέλιτος ποτιζόμενος, ἢ ἀδίαντον ἢ ἐρυθροδάνου ῥίζης τριώβολον μετὰ μελικράτου δίδου, ἢ στρούθιον μετὰ μέλιτος ἐκλειχέτωσαν, ἢ ἄρκτου χολῆς ὅσον κύαθον δίδου πίνειν, ἢ ὑπερικοῦ γο α′. πότιζε μετ᾽ οἰνομέλιτος, ἢ μελικράτου κύαθον α′. ἢ

ἐλξίνης ἀφέψημα ἐπὶ ἡμέρας ε′ ἢ στ′ μετ’ οἰνομέλιτος, ἢ κυνείας λευκῆς γο β′. μετὰ μέλιτος γο γ′. ἐπὶ ἡμέρας γ′. δίδου πίνειν, ἢ τοὺς ἀπὸ τῶν
13.235 πετρῶν λειχῆνας πότιζε μεθ’ ὑδρομέλιτος, ἢ λειχῆνος τοῦ ἐπὶ τοῖς κεράμοις ἢ λίθοις γινομένου ‹ α′. ἐν ἀκράτῳ πότιζε, ἢ κάρδαμον σὺν ἐλαίου κυάθῳ ἑνὶ δὸς πιεῖν. εἰς δὲ τοὺς ῥώθωνας τὴν ῥίζαν αὐτοῦ ἔμβαλλε, ἢ ἀψινθίου κοχλιάρια δ′. ἀνίσου κοχλιάρια γ′. δίδου ὀξυμέλιτος ἢ ὀξυλαπάθου, ἢ λαπάθου ῥίζης λείας ὀξύβαφον δίδου μεθ’ ὑδρομέλιτος. ἐὰν δὲ μὴ πυρέσσοι, μετ’ οἴνου ἢ ὀξυμέλιτος, ἢ ἀδιάντου καὶ ἡδυόσμου καὶ ἐρυθροδάνου ἴσον ζέσας ἐν ὕδατι δίδου πιεῖν κοτύλην α′. ἐν ἡλίῳ ἡλιασμένῳ ἐπὶ πολὺ καὶ δεδιψηκότι καὶ πνευματιῶντι, ἵνα πιὼν ἱδρώσῃ, εὐθέως μεταβάλλει τὸ χρῶμα, ἢ ἀδιάντου καὶ σμύρνης τὸ ἥμισυ νήστει λελουμένῳ δίδου ἐν οἴνου κοτύλης ἡμίσει, ἢ λαγωοῦ πητύαν μετὰ ἀκράτου, ἐπὶ ἡμέρας ε′ ἢ στ′ δίδου, ἢ σκολοπενδρίου ‹ δ′. ἐν οἴνῳ δίδου νήστει, ἐπὶ ἡμέρας ε′ ἢ στ′. ἢ ἡδύοσμον καὶ ἐρυθρόδανον καὶ ἀδίαντον, ἴσα πότιζε μεθ’ ὕδατος κυάθων β′. ἢ τεύτλου φύλλων ὠμῶν ‹ στ′. σμύρνης ὀβολοὺς δύο μετὰ μελικράτου νῆστιν πότιζε, ἢ προλούσας
13.236 ἐπιμελῶς νήστει δίδου μετ’ οἴνου κοτύλης ἥμισυ, ἢ ⟨ἀδιάντου ‹ α′. σμύρνης ‹ η′. ἡδυόσμου ‹ α′. ὕδατος κοτύλας δύο, ἕψε μέχρι τὸ ἥμισυ λειφθῇ, εἶτα περιπατήσαντα πολλὰ τρίψας εὖ μάλα, ἔτι μετεωροτέρου τοῦ πνεύματος ὄντος δὸς πιεῖν. τοῦτο ποίει ἐπὶ ἡμέρας δύο. ἢ ἐρεβίνθους τοὺς ὀροβίας ἐξαιθριάσας ἐν ὕδατι, δὸς τοῦ ὕδατος πίνειν καὶ τοὺς ἐρεβίνθους ἐπιφαγεῖν πρωΐ καὶ δείλης, εἶτα τρεῖς ἡμέρας ἀψίνθιον ἐν μελικράτῳ πινέτωσαν. ἢ κυκλαμίνου χυλῷ διὰ ῥινὸς καθάρας λοῦε, ἢ τὴν λεγομένην ὀρόντιον βοτάνην πολλὴν καθεψήσας ἢ ἀφεψήσας, λοῦε τῷ ἀφεψήματι καὶ καταστήσεις εὐθέως γίνεσθαι τὸ ὕδωρ χλωρόν. ἢ τὴν ὑπὸ τὴν γλῶσσαν τέμνε φλέβα. εἰ δὲ πρὸς μηδὲν τούτων ὑπείκοι, τότε τῷ διὰ σκαμμωνίας καὶ ἀκριβοῦς διαίτης αὐτοὺς ἀκτέον καὶ ἐπὶ τούτῳ ἐπὶ γυμνάσια ἀπολυτέον.

Περὶ σπληνός Ὅτι πάντα τὰ μόρια τὸν οἰκεῖον ἑαυτοῖς ἐκ τῶν φλεβῶν ἕλκει χυμὸν ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι μεμαθηκότες, ἐν οἷς καὶ ὅτι τὴν οἷον ἰλὺν τοῦ αἵματος, ἐξ ἧς ἡ μέλαινα γεννᾶται χολή,
13.237 τὸ σπλάγχνον τοῦτο τὴν τροφὴν ἔχει. πρὸς αὐτοῖς δὲ ἀναμνησθέντες καὶ ὅσα κατὰ τὴν θεραπευτικὴν μέθοδον εἴρηται περὶ σπληνὸς, ὁμοίως

ἀκολουθήσετε τοῖς νῦν λεχθησομένοις, ὧν τὸ πρῶτον καὶ κυριώτατόν ἐστι τὸ ὅτι τάχιστα τὸ σπλάγχνον τοῦτο σκιρροῦσθαι πέφυκε τοῦ κατὰ τὰς φλέβας αὐτοῦ σφηνωθέντος αἵματος, οὔτε ἐκκριθῆναι διὰ τὸ πάχος οὔτε διαφορηθῆναι ῥᾳδίως δυναμένου. λεπτυνόντων οὖν χρῄζει φαρμάκων ἄνευ θερμότητος ἐπιφανοῦς, ὅπως μὴ παχυνθείη σφοδρότερον ὁ ἐσφηνωμένος ἐν αὐτῷ παχὺς χυμός. ὅπως δ' αὐτῷ φυλάττοιντο τὰ τῆς ἐνεργείας, ἐπιμίγνυται τούτοις τι καὶ τῶν αὐστηρῶν, ὁποῖόν ἐστι καὶ τὸ τῶν στυφόντων γένος. ἐμάθετε γὰρ ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων λόγοις, ὅτι πάντων τῶν μορίων, ἕνεκα τῆς ἑαυτοῦ διαμονῆς ἐχόντων δυνάμεις, τήν τε τῶν οἰκείων ἑλκτικὴν καὶ τὴν τῶν ἀλλοτρίων ἀποκριτικὴν καὶ δηλονότι καὶ τὴν ὁμοιωτικὴν ἑαυτοῖς ὧν ἂν ἕλξωσιν, ἐνίοις αὐτῶν ὑπάρχει κατὰ συμβεβηκὸς ὠφελεῖν μεγάλα τὸ σύμπαν σῶμα. τῶν τοιούτων δέ ἐστι καὶ ὁ σπλὴν, ἕλκων εἰς ἑαυτὸν ἐκ
13.238 τοῦ ἥπατος τὴν οἷον τρύγα τοῦ αἵματος, ὥσπερ ἡ μὲν ἐπὶ τοῦ ἥπατος κύστις τὴν χολὴν, οἱ δὲ νεφροὶ τὸ οὖρον. ἐὰν οὖν ἀτονήσας ἀδυνατῇ πρὸς ἑαυτὸν ἕλκειν τὸ τοιοῦτον αἷμα, κακοχυμία ἅπαντι τῷ σώματι προστρίβεται. διὰ τοῦτο οὖν αὐτοῦ δεῖ φυλάττεσθαι τὸν φυσικὸν τόνον, ὅπως ἕλκῃ τὴν προσήκουσαν αὐτῷ τροφὴν, ὑφ' ἧς ἐνεργείας εἰς εὐχυμίαν τῷ παντὶ σώματι συντελεῖ, τά τε ἐν αὐτῷ γεννηθέντα περιττώματα καταπέμπειν εἰς τὴν γαστέρα δύναται, μετὰ τῶν τῆς τροφῆς περιττῶν ἐκκριθησόμενα. διὰ τοῦτο οὖν αὐτῷ τά τε πάνυ πικρὰ φάρμακα προσφέρομεν, ἔνιά τε μίγνυμεν αὐτοῖς τῶν αὐστηρῶν. εἰς δὲ ὕλην χρήσιμον ἢ κηρωμάτων τε καὶ μαλαγμάτων ποίησιν ἔνια προστίθεμεν, ὁποῖόν ἐστι φάρμακον ὅ τε κηρὸς καὶ ἡ ῥητίνη καὶ πίττα καὶ ἄσφαλτος ὅσα τε ἄλλα τοιαῦτα. κατὰ πρῶτον δὲ λόγον ὄξος τε καὶ ὀξύμελι χρήσιμα τῷ σπλάγχνῳ, τέμνειν τε καὶ λεπτύνειν τοὺς παχεῖς χυμοὺς δυνάμενα χωρὶς τοῦ θερμαίνειν. ὥσπερ οὖν ἐπὶ τῶν ἄλλων μορίων, ὅσα διὰ
13.239 καταπλασμάτων ἢ ὑγρῶν φαρμάκων ἐπιθέσεως ἢ καταντλήσεως ὠφελεῖ, καθ' ἑτέραν εἴρηται πραγματείαν, οὕτως καὶ νῦν ἐάσας τὰ τοὺς φλεγμαίνοντας ὠφελοῦντα σπλῆνας μόνων μνημονεύσω τῶν τοῖς σκιρρουμένοις ἁρμοζόντων, ὃ κἀν ταῖς φαρμακίτισι βίβλοις οἱ πρὸ ἐμοῦ τὴν γραφὴν ἐποιήσαντο, καλοῦντες ἰδίως σπληνικοὺς τοὺς ἐν σκιρρώδει διαθέσει τὸν σπλῆνα ἔχοντας.

Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα ποτὰ φάρμακα πρὸς σπληνικοὺς κατὰ λέξιν οὕτω. Πότημα πρὸς σπληνικοὺς Ἀντιπάτρου, ὡς Νεῖλος. ⁋ μυροβαλάνου σαρκὸς ⸂γ′. ἡμιονίτιδος βοτάνης, ἣν οἱ μὲν ἄσπληνον, οἱ δὲ σκολοπένδριον λέγουσι, ⸂στ′. καππάρεως ῥίζης φλοιοῦ ⸂δ′. κόστου ⸂δ′. χαμαίδρυος ⸂στ′. πολίου ⸂γ′. κοτυληδόνος ῥίζης ⸂β′. κισσοῦ μέλανος τῶν κορύμβων κόκκους κε′. ἀμμωνιακοῦ θυμιάματος ⸂δ′. ὑπερικοῦ καρποῦ ⸂β′. χαλβάνης ⸂β′. περικλυμένου καρποῦ ⸂α′. ἢ τῆς ῥίζης ⸂γ′. καρδάμου μέλανος ⸂α′ ′′. σκίλλης καρποῦ ὀποῦ ⸂ιστ′. ἐν ὀξυμέλιτι δίδου ὀβολοὺς β′. ἄλλο σπληνικοῖς πότιμον. ⁋ βαλάνου μυρεψικῆς ⸂δ′. κισσοῦ λευκοῦ κόκκους κδ′. κόστου ⸂β′. περικλυμένου σπέρματος ⸂β′. ὑπερικοῦ ⸂α′. ἓν ἄλλαις ⸂δ′. χαλβάνης ⸂α′. ὀβολοὺς β′. καρδάμου ⸂δ′. ἀναλάμβανε σκίλλης ἐφθῷ χυλῷ, δίδου κύαθον Ἑλληνικὸν δι᾽ ὀξυμέλιτος. ἄλλο. ⁋ μυροβαλάνου σαρσὸς ⸂γ′. ὑπερικοῦ ⸂στ′. περικλυμένου καρποῦ ⸂στ′. δαύκου ῥίζης ⸂στ′. ἐρυθροδάνου, ἀκόρου, φοῦ Ποντικοῦ, κρόκου ἀνὰ ⸂στ′. σχοίνου ⸂γ′. μήου ⸂στ′. καρδάμου, χαμαιπίτυος, καππάρεως ῥίζης ἀνὰ ⸂στ′. πολίου ⸂στ′. οἱ δὲ ⸂γ′. ἀμμωνιακοῦ θυμιάματος ⸂γ′. ὀξυμέλιτος ἀναλάμβανε τροχίσκους ἀνὰ ὀβολοὺς β′. καὶ δίδου ἐν ὀξυμέλιτι ἕνα. ποιεῖ δὲ καὶ πρὸς ἡπατικοὺς καὶ ὑδρωπικούς. ἄλλο ποιεῖ σπληνικοῖς. ⁋ χαμαίδρυος ⸂δ′. πολίου ⸂ε′. χαμαιπίτυος ⸂δ′. ἐρυθροδάνου ⸂ε′. ἀμμωνιακοῦ θυμιάματος ⸂γ′. ἀρτεμισίας ⸂γ′. μυροβαλάνου ⸂δ′. καππάρεως ῥίζης φλοιοῦ ⸂γ′. ἀριστολοχίας ⸂στ′. τραγακάνθης ⸂β′. ὕδατι ἀναλάμβανε τροχίσκους τριωβολιαίους, δίδου ἐν ὀξυμέλιτι.

13.241 Ἄλλο εὐστόμαχον. χρῶ δὲ πρὸς πᾶσαν διάθεσιν σπληνός. ποιεῖ δὲ πρὸς σπάσματα, πνευματώσεις καὶ πρὸς γυναικεῖα πάθη. ⁋ Σμύρνης ⸂δ′. νάρδου Ἰνδικῆς ⸂δ′. καππάρεως ῥίζης φλοιοῦ ⸂δ′. κόστου ⸂ε′. πάνακος ῥίζης ⸂δ′. πευκεδάνου ῥίζης ⸂δ′. δικτάμνου ⸂δ′. πολίου ⸂β′. περικλυμένου ῥίζης φλοιοῦ ⸂δ′. ἐρυθροδάνου ⸂γ′ ′′. ἀμμωνιακοῦ θυμιάματος ⸂δ′ ′′. ἔνιοι καὶ ἴρεως ⸂δ′ ′′. ὀξυμέλιτι ἀναλάμβανε, δίδου ὀβολοὺς δύο ἐν ὀξυμέλιτι. ἄλλο σπληνικοῖς, ὀρθοπνοϊκοῖς. ⁋ στρουθίου, σκίλλης ὀπτῆς, πάνακος, καππάρεως ῥίζης ἀνὰ ⸂ε′. κροκομάγματος ⸂β′ ′′. ὄξει ἀναλάμβανε, δίδου ἐν ὀξυμέλιτι σκιλλητικῷ. ἄλλο. ⁋ στρουθίου, καππάρεως ῥίζης φλοιοῦ, χαμαίδρυος,

πάνακος ἀνὰ ‹ ι΄. μυρίκης καρποῦ ‹ γ΄. ὄξει σκιλλητικῷ ἀναλάμβανε καὶ ‹ α΄. δίδου ἐν ὀξυμέλιτι σκιλλητικῷ.

Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα ποτὰ φάρμακα πρὸς σπλῆνα. Κυνογλώσσου χειροπληθὲς λαβὼν τρῖβε μετ᾽ οἴνου κυάθων γ′. καὶ τὸ ὑγρὸν ἐκθλίψας, δίδου πίνειν πρὸ τροφῆς, ποιεῖ καὶ ὁ χυλὸς κατ᾽ ἰδίαν.
13.242 αἴρειν δὲ δεῖ τὴν βοτάνην εὐωνύμῳ χειρὶ πρὶν ἡλίου ἀνατολῆς. ἄλλο. χαμαίδρυος χειροπληθὲς ἀφέψας μετ᾽ οἴνου ξε. α′. καὶ τὸ ὑγρὸν ἐκθλίψας ἀπόθου καὶ δίδου κυάθους δύο πρὸ τροφῆς. καταπλαστὸν σπληνικοῖς. μυρίκης καρπὸν κόψας καὶ σήσας ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως, δίδου κοχλιάρια β′. μετ᾽ ὀξυμέλιτος κεκραμένου κυάθων τριῶν. ἢ βοτάνην τὴν λεγομένην πελαργῖτιν κόψας καὶ σήσας δίδου καθὰ προείρηται. ἄλλο. ὀνάγρου ἢ ἵππου ἀγρίου σπλῆνα ξηράνας κόψε ἀπόθου καὶ δίδου κοχλιάρια β′. μετ᾽ οἴνου κεκραμένου κυάθων τριῶν. καταπότιον σπληνικοῖς. κισσοῦ λευκοῦ τῶν κορύμβων δίδου κόκκους γ′. καὶ ὀξυμέλιτος ἐπιπίνειν κυάθους γ′. Ἀνδρέου τὸ παιόνιον. μυρίκης τὸν καρπὸν κόψας καὶ σήσας ἀναλάμβανε χαλβάνῃ καὶ ποίει καταπότια καὶ δίδου πρὸς δύναμιν.

Τροχίσκος σπληνικὸς, ὑπεκτήκει τὸν ὄγκον. ⁋ Ἐρείκης καρποῦ ‹ δ΄. πεπέρεως λευκοῦ, νάρδου Συριακῆς, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ‹ β΄. τὰ ξηρὰ κόπτεται καὶ σήθεται· τὸ δὲ ἀμμωνιακὸν ὄξει σκιλλητικώδει
13.243 διαλύεται καὶ τοῖς ξηροῖς ἐπιβαλλόμενον ἀναπλάττεται καὶ γίγνονται τροχίσκοι ἀνὰ ‹ α΄. ἄγοντες, δίδοται ‹ α΄. καὶ ὀξυμέλιτος κύαθοι γ΄. ὁ δοὺς τὸ φάρμακον ἔλεγε πεποτηκέναι δελφάκιον ἐπὶ ἡμέρας τρεῖς. μετὰ δὲ ταῦτα τὸ δελφάκιον ἀνατμηθὲν ἄσπληνον εὑρεθῆναι.

Ἄλλο ὑπεκτήκει τὸν ὄγκον. ⁋ Ἀμμωνιακοῦ θυμιάματος, βάτου φύλλων τῶν ἁπαλωτάτων ἀνὰ ‹ η΄. καππάρεως φλοιοῦ ‹ δ΄. μυρίκης καρποῦ, βοτάνης ἀσπλήνου, λεγομένης σκολοπενδρίου ἢ ἡμιονίτιδος ἀνὰ ‹ β΄. σκίλλης ὀπτῆς κεκαθαρμένης τοῦ πυρῆνος, πεπέρεως λευκοῦ ἀνὰ ‹ β΄. ὕδατι ἀναλάμβανε καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου ‹ α΄. μετ᾽ ὀξυμέλιτος κυάθων γ′. Χρυσέρμου σπληνικοῖς, ὑδρωπικοῖς. ἔστι δὲ καὶ διουρητικοῖς ἀγαθὴ, κοιλίας μαλακτική. σκίλλαν εὐμεγέθη πηλῷ περιπλάσας, ὄπτα καὶ περίελε τὸν φλοιὸν καὶ τοῦ πυθμένος τὸ σκληρὸν,

τοῦ δὲ πυρῆνος λαβὼν λίτρας β′. δαύκου σπέρματος ὀξύβαφον, ὅ ἐστιν γο
13.244 α′. ἀνίσου, σεσέλεως, πάνακος ῥίζης, ἴρεως, ἑκάστου ἴσον, κνίδης σπέρματος, κεδρίδων ἀνὰ ‹ ιβ′. σμύρνης ‹ δ′. ὀρόβων ἀληλεσμένων χοίνικα, οἴνου εὐώδους ὅσον ἐξαρκεῖ, φυράσας ἀνάπλαττε τροχίσκους. ἔχει δὲ καὶ τραγακάνθης μνᾶς δ′. ἡ δόσις ‹ α′. μετ᾽ ὀξυμέλιτος τριῶν κυάθων. ἄλλο. Εὐγηρασίας. ⁋ σκίλλης ὀπτῆς κεκαθαρμένης μνᾶς δύο, βρυωνίας ῥίζης μνᾶς η′. πεπέρεως λευκοῦ τὸ ἴσον, πετροσελίνου τὸ ἴσον, δαύκου Κρητικοῦ σπέρματος τὸ ἴσον, ὀρόβων ἀληλεσμένων τὸ ἴσον, κεδρίδων ξε. στ′. ἐχέτω δὲ ὄξους γο η′. ἴρεως, πάνακος ῥίζης, σμύρνης ἀνὰ γο γ′. οἴνου Φαλερίνου εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ, ἀνάπλαττε τροχίσκου καὶ ξήραινε ἐν σκιᾷ, δίδου ‹ α′. μετ᾽ οἴνου κεκραμένου κυάθων γ′.

᾽Επιθέματα καὶ ἔμπλαστρα τοῦ αὐτοῦ ᾽Ασκληπιάδου πρὸς τὰς προσφάτους τοῦ σπληνὸς φλεγμονάς. ⁋ Δένδρου ἀκτῆς τῶν ἁπαλωτάτων φύλλων λίτρας γ′. ἀλόης λίτραν α′. σκεύαζε δι᾽ ὄξους καὶ εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει. ἄλλο. ⁋ ἐρείκης καρποῦ γο στ′. χαλβάνης λίτραν α′. ἔνιοι γο
13.245 στ′. τὸν καρπὸν κόπτε καὶ σῆθε καὶ οὕτως ἐπίβαλον τὴν χαλβάνην καὶ μίξας φιλοπόνως, εἰς ὀθόνιον ἐπιτίθει ἐμπλάσας.

Τὸ τοῦ ᾽Ιδιώτου φάρμακον ἐπιτετευγμένον. ⁋ ᾽Ιξοῦ δρυΐνου λίτραν α′. ἀσβέστου λίτραν α′. τὸν ἰξὸν βαλὼν εἰς ἄγγος κεραμεοῦν καὶ θεὶς ἐπ᾽ ἀνθράκων, ἕα διαλύεσθαι· ὅταν δὲ διαλυθῇ κατάπασσε τὴν ἄσβεστον καὶ μίξας καὶ θερμὸν ἐμπλάσας εἰς δέρμα λευκὸν ἐπιτίθει. δεῖ δὲ καὶ συλλούεσθαι τῷ φαρμάκῳ καὶ οὕτως ἐᾷν ἕως αὐτόματον ἀποπέσῃ. φροντίζειν δὲ δεῖ, ὥστε τὰ ἀφιστάμενα μέρη τοῦ σπληνὸς ἀποκόπτειν. ἄλλο. ⁋ ἰξοῦ δρυΐνου λίτραν α′. ἀσβέστου γο α′. λίθου ᾽Ασίου τοῦ ἄνθους γο δ′. κεδρίας γο α′. σκεύαζε κατὰ τρόπον καὶ χρῶ, καθ᾽ ἡμέραν αἴρων τὸ φάρμακον καὶ σπόγγοις ἀποπυριῶν τοὺς τόπους καὶ πάλιν ἐπιρρίπτων. τὸ φάρμακον οὖρα κινεῖ.

Μάλαγμα χρυσίζον σφόδρα καλόν. ⁋ Κηροῦ, πιτυΐνης καὶ φρυκτῆς ἀνὰ λίτρας δύο, ἀρσενικοῦ, στυπτηρίας σχιστῆς, ἀσβέστου ἀνὰ γο δύο, ὄξους, ἐλαίου ἀνὰ κυάθους η′. σκεύαζε κατὰ τρόπον.

13.246 Ἄλλο σφόδρα γενναῖον, ᾧ ἐχρήσατο Ἀνδρόμαχος. Κηροῦ, πιτυΐνης, πίσσης βρυτίας ξηρᾶς ἀνὰ λίτρας δύο, ἀρσενικοῦ, στυπτηρίας σχιστῆς, ἀσβέστου ἀνὰ γο β . ὄξους κυάθους η . σκεύαζε κατὰ τρόπον, ποιεῖ σπληνικοῖς, ὑδρωπικοῖς καὶ πρὸς τὰς ὑποχονδρίων διατάσεις, ποιεῖ ἰσχιαδικοῖς, ἀρθριτικοῖς, ἡμεῖς προεθήκαμεν τῷ φαρμάκῳ σμύρνης γο β . ἰξοῦ γο δ .

Πρὸς τὰς σκιρρώδεις τοῦ σπληνὸς διαθέσεις. ἐχρήσατο Τρύφων Γορτυνιάτης. Τήλεως ἀληλεσμένης, νάπυος, μάννης λιβάνου ἀνὰ ξε. α . μυροβαλάνου πιέσματος ξε. . νίτρου ἀφροῦ γο γ . λειότατα ποιήσας καὶ μίξας, ἀναλάμβανε ἀφεψημένῃ κεδρίᾳ, ὥστε ἐμπλάστρου ὑγρᾶς ἔχειν τὸ πάχος. ἡ χρῆσις ἐν διαλείμματι, ἐπιθεὶς τὸ φάρμακον καταλάμβανε ταινιδίοις. ὁ χρόνος τῆς ἐπιθέσεως πρὸ βαλανείου, ἐφ’ ὅσον οἷόν τέ ἐστι τὸν πάσχοντα φέρειν, ἔπειτα ἐπιδεδεμένον εἰσάγειν εἰς τὸ βαλανεῖον καὶ μετὰ τὴν λοιπὴν τοῦ σώματος ἐπιμέλειαν ἐμβιβάζειν καὶ οὕτως ἐν τῷ ὕδατι λύειν τὴν ταινίαν.

13.247 Ἄλλο σπληνικοῖς αὐθήμερον. πρὸ δὲ τῆς ἐπιθέσεως τοῦ φαρμάκου τρεῖς ἡμέρας διαιτῶμεν. ℩ Σμύρνης, μάννης λιβάνου ἀνὰ γο γ ′ . σινήπεως Ἀλεξανδρίνου, καρδάμου ἀνὰ γο β ′ . ὄξους σκιλλητικοῦ τὸ ἱκανὸν, σίνηπι, κάρδαμον κόψας καὶ σήσας, τὴν δὲ μάνναν καὶ τὴν σμύρνην ἐκλειώσας ἐπίβαλλε τὰ ξηρὰ καὶ φυράσας τῷ ὄξει ποίει μαλαγματῶδες καὶ ἀποτίθει ἀπὸ ὥρας δευτέρας μέχρι ἑνάτης. ἔπειτα δὲ ἐπιδεδεμένον δυσὶ ταινίαις εἰσάγομεν εἰς βαλανεῖον, καὶ ὅταν ἀναχαλασθῇ, ἐμβιβάζομεν. ἐν δὲ τῇ ἐμβάσει πλείονα χρόνον κατεχέσθω, ἔξω ἔχων τοῦ ὕδατος τὰ σκέλη. πρὸς δὲ τὸ μὴ λειποθυμεῖν ὄξος καὶ γλήχωνα ὀσφραινέσθω καὶ τὰς ταινίας κατὰ μικρὸν ἐπιλυέσθω. ἐξελθόντι δὲ ἐκ τοῦ βαλανείου, δοτέον τάριχος χωρὶς ἄρτου καὶ οἶνον τεθαλαττωμένον καὶ τῇ ἐπιούσῃ τὰ αὐτὰ δοτέον. τῇ δὲ τρίτῃ γυμνασίοις χρηστέον, ἀποξύνειν τὸ πνεῦμα δυναμένοις. ἄλλο Ἀρείου Ταρσέως, ἡ χρῆσις ἐν διαλείμματι. ℩ σύκων πιοτάτων, σινήπεως, καππάρεως ῥίζης τοῦ φλοιοῦ
13.248 ἀνὰ λίτραν α ′ . ὄξους τὸ ἱκανόν. ἄλλο Διοδώρου. ℩ σινήπεως, καρδάμου, τήλεως, λινοσπέρμου, μυροβαλάνου πιέσματος ἀνὰ ‹ η ′ . ἀναλάμβανε

κεδρίᾳ ἐφθῇ, προσφυράσας ὄξει σκιλλητικῷ. ἡ χρῆσις πρὸ βαλανείου, τὸ φάρμακόν ἐστι καλὸν, καὶ μετὰ τὴν χρῆσιν αἷμα ἀπουροῦσι.

Τὰ ὑπὸ τοῦ αὐτοῦ Ἀσκληπιάδου γεγραμμένα φάρμακα κατὰ τὸ δ′ τῶν ἐκτὸς, πρὸς σπληνικοὺς καὶ ὑδρωπικοὺς, κατὰ λέξιν οὕτως ἔχοντα. Ἐπίθεμα σπληνικοῖς τοὺς ὄγκους ὑπεκτήκει. ⳨ ἀκτῆς τῶν φύλλων ἁπαλῶν λίτρας γ′. ἀλόης λιπαρᾶς λίτραν α′. τρῖβε μετ᾽ ὄξους, καὶ λεάνας καὶ ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει. ἄλλο. ⳨ ἐρείκης καρποῦ λίτραν α΄. χαλβάνης ℥ α΄. κόψας τὸν καρπὸν καὶ σήσας ἀναλάμβανε χαλβάνῃ, καὶ πάλιν κόπτε παραπτόμενος ἰρίνου ὑποστάθμης, ὥστε μαλαγματῶδες γενέσθαι, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει. μάλαγμα σπληνικοῖς. ⳨ μυροβαλάνου τῶν λεπύρων κεκομμένων καὶ σεσησμένων μνᾶς ἥμισυ καὶ τοῦ πιέσματος τὸ ἴσον, κηροῦ ‹ στ΄. ῥητίνης τερμινθίνης ‹ λβ΄. χαλβάνης
13.249 ‹ ι΄. ἰρίνου βραχὺ, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἄλλο λίαν γενναῖον. ⳨ μυροβαλάνου ἀλεύρων γο γ′. νίτρου γο α′. οἱ δὲ δ′. κηροῦ γο στ′. τερμινθίνης γο η′. ὄξους τὸ αὔταρκες, ὑπεκτήκει.

Μάλαγμα τὸ διὰ τῆς κεδρίας, σπληνικοῖς, ὑδρωπικοῖς φάρμακον ἐπιτετευγμένον, οὖρα κινεῖ πολλὰ καὶ τὸν σπλῆνα ὑπεκτήκει. δεῖ δὲ συλλούεσθαι τῷ φαρμάκῳ καὶ τὸ ἀφιστάμενον ἀπὸ τοῦ χρωτὸς περικείρειν, τουτέστι τοῦ σπληνίου, ἐᾷν γὰρ δεῖ τὸ φάρμακον περικεῖσθαι μέχρις οὗ αὐτόματον ἀποπέσοι. ἡ δὲ σύνθεσίς ἐστιν ἥδε. ⳨ Ἰξοῦ δρυΐνου λίτραν α′. ἀσβέστου γο στ′. λίθου Ἀσίου τοῦ ἄνθους γο δ′. κεδρίας γο γ′. τὸν ἰξὸν ἕψε βαλὼν εἰς λοπάδα χαλκῆν καὶ ὅταν ξανθὸς γένηται, ἐπίβαλλε τὴν κεδρίαν κινῶν συνεχῶς, καὶ τὰ ξηρὰ λεάνας ἐπίβαλλε, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς ἔα ποσῶς ψυγῆναι, εἶτα ἐμπλάσας εἰς δέρμα λευκὸν τὸ ἀπὸ ἀκάνθης λεγόμενον, ἐπιτίθει κατὰ τῶν πασχόντων τόπων καὶ συλλούεσθαι παραίνει, ἕως αὐτόματον ἀποπέσοι τὸ σπλήνιον. δεῖ μέντοι, ὥσπερ καὶ ἄνω προείρηται, τὰ ἀφιστάμενα μέρη τοῦ σπληνίου
13.250 ἀποκείρειν. ἄλλο σφόδρα γενναῖον. ⳨ λίθου Ἀσίου τοῦ ἄνθους γο β′. λίθου γαγάτου γο α′. ἀσβέστου γο η′. ἰξοῦ δρυΐνου λίτραν α′. σκεύαζε καὶ χρῶ καθὰ προείρηται. μάλαγμα Ἀντιοχίδος, σπληνικοῖς, ὑδρωπικοῖς, ἰσχιαδικοῖς, ἀρθριτικοῖς, ἐσκευάσθη Φαβίλλῃ. ⳨ κηροῦ λίτρας γ′. ῥητίνης τερμινθίνης λίτρας γ′. μυροβαλάνου πιέσματος λίτραν α′. νίτρου ἀφροῦ

λίτραν α′. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α′. ἀμμωνιακοῦ θυμιάματος λίτραν α′. ἐλαίου κυπρίνου λίτρας γ′. ὄξος ὥστε τὸ ἀμμωνιακὸν διαλῦσαι. ἄλλο Φαβίλλῃ συντεθὲν, σφόδρα γενναῖον πρὸς τὰς αὐτὰς διαθέσεις. ℩ σμύρνης στακτῆς, βδελλίου, ὄνυχος, μυελοῦ ἐλαφείου, ἀμμωνιακοῦ θυμιάματος, ἴρεως ξηρᾶς ἀνὰ λίτρας β′. ὀποπάνακος λίτραν α′. χαλβάνης λίτραν α′. μαστίχης λίτραν α′. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α′. στύρακος λίτραν α′. ὀποῦ συκομόρων λίτραν α′. κάγχρυος λίτραν α′. πεπέρεως λευκοῦ οὐγγίας στ′. κηροῦ λίτρας ε′. τερμινθίνης λίτρας ε′. κοπτόν ἐστι τὸ φάρμακον. καὶ δεῖ κόπτοντας παράπτεσθαι ἰρίνου μύρου τῇ ὑποστάθμῃ ἕως ἂν εὐαφέστατον γένηται τὸ φάρμακον, καὶ γὰρ
13.251 κείμενον εὐαφέστατον γίνεται. μάλαγμα ὃ καὶ χρυσίζουσαν καλοῦμεν. ℩ ἀρσενικοῦ γο α ′. στυπτηρίας σχιστῆς γο β ′. ἀσβέστου γο β ′. τὰ ξηρὰ κόπτομεν καὶ σήθομεν καὶ εἰς θυείαν ἐμβάλλομεν, τούτοις ἐπιβάλλομεν ὄξους κυάθους η ′. καὶ λεάναντες ἐπιμελῶς ἀναλαμβάνομεν τοῖς τηκτοῖς. ἔστι δὲ ταῦτα κηροῦ λίτρα α ′. ῥητίνης φρυκτῆς λίτραι β ′. πιτυΐνης λίτραι β ′. ἐλαίου κοινοῦ κύαθοι η ′. ταῦτα τήξαντες ἐῶμεν ψυγῆναι καὶ ἀναξύσαντες ἐπιβάλλομεν τοῖς λεανθεῖσιν. ἡμεῖς προστεθείκαμεν τῇ τοῦ φαρμάκου σκευασίᾳ σμύρνης γο β ′.

Ἄλλο. τούτῳ ἐχρήσατο Ἀνδρόμαχος. ποιεῖ σπληνικοῖς, ὑδρωπικοῖς καὶ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις, ποιεῖ ἰσχιαδικοῖς, ἀρθριτικοῖς καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις. ℩ Κηροῦ λίτραν α ′. πίσσης Βρυτίας λίτραν α ′. ἀντὶ ῥητίνης φρυκτῆς τὴν πίσσαν βάλλομεν, ἐλαίου κυ. η ′. ἀρσενικοῦ χρυσίζοντος γο β ′. στυπτηρίας σχιστῆς γο β ′. ἀσβέστου γο β ′. σκεύαζε καθὰ προείρηται. ἡμεῖς προσεθήκαμεν τῷ φαρμάκῳ σμύρνης γο β ′. ἰξοῦ δρυΐνου γο δ ′.

13.252 Πρὸς τὰς κεχρονισμένας τοῦ σπληνὸς σκιρρώδεις διαθέσεις, αὐθήμερον λεγόμενον. δεῖ δὲ πρὸ τῆς ἐπιθέσεως τοῦ φαρμάκου ἐπὶ τρεῖς ἡμέρας τὸν κάμνοντα διαιτῆσαι. ℩ Σμύρνης, μάννης λιβάνου ἀνὰ γο γ ′. νάπυος Ἀλεξανδρίνου γο β ′. καρδάμου γο β ′. ὄξους σκιλλητικοῦ τὸ ἱκανὸν, κόψας καὶ σήσας τὰ ξηρὰ καὶ ὄξει φυράσας, ὥστε μαλαγματῶδες γενέσθαι, ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει ἀπὸ ὥρας β ′. ἕως θ ′. φυλάττων καὶ ταινιδίῳ κατέχων τὸ ἐπικείμενον μάλαγμα, εἶτα πέμπε εἰς βαλανεῖον

οὕτως ἐπιδεδεμένον, καὶ ὅταν καλῶς ἀναχαλασθῇ, ἐμβίβαζε κελεύων ἔξω τῆς ἐμβατῆς ἔχειν τοὺς πόδας καὶ ἐπὶ πλείονα χρόνον ἐμμένειν. πρὸς δὲ τὴν τούτων ἀνάκτησιν ὄξος καὶ γλήχωνα προσάγομεν τοῖς μυκτῆρσι καὶ πειρώμεθα κατὰ μικρὸν ἐπιλύειν τὰς ταινίας, ἔστωσαν δὲ δύο κατὰ τοῦ μαλάγματος ἐπικείμεναι. κατὰ δὲ τὴν ἄρσιν τῶν ταινιδίων αἴρομεν καὶ τὸ ἐπικείμενον μάλαγμα καὶ τοὺς πεπονθότας τόπους ἱκανῶς ἀπαντλοῦμεν. ἐξελθόντι δὲ τοῦ βαλανείου δίδομεν τάριχον χωρὶς ἄρτου
13.253 καὶ οἶνον τεθαλασσωμένον καὶ τῇ ἐπιούσῃ τὸ αὐτὸ ποιοῦμεν. τῇ δὲ τρίτῃ τὸ αὐτὸ ποιούμεθα, γυμνασίοις χρώμεθα ἀποξύνειν δυναμένοις τὸ πνεῦμα.

Ἄλλο Τρύφωνος Γορτυνιάτου Κρητὸς φάρμακον ἐπιτετευγμένον. Τήλεως ἀληλεσμένης ξέστην α . μυροβαλάνου πιέσματος ξέστου . νίτρου ἀφροῦ γο γ . πάντα λεάνας ἀναλάμβανε κεδρίᾳ, δεῖ δὲ πρότερον ταύτην ἐψήσαντα συστρέφειν, ὥστε κηρωτῆς ἔχειν πάχος. ἡ χρῆσις πρὸ βαλανείου, ἐφ᾽ ὅσον ὁ κάμνων δύναται φέρειν, μετὰ δὲ τὸ βαλανεῖον ἐπιρρίπτομεν κηρωτάριον.

Ἄλλο αὐθήμερον ἐπιγραφόμενον, ἀπαλλάττει τῆς ὅλης διαθέσεως. ♃ Πυρέθρου ʃ κ′. μυροβαλάνου γο η′. καρδάμου γο η′. κνίδης σπέρματος γο η′. πεπέρεως γο η′. σινήπεως ξέστου ′′. ἅπαντα λειώσας καὶ ὄξει φυράσας καὶ λεάνας ἐπιτίθει ἐν διαλείμμασιν ἐπὶ ὥρας γ′. εἰ δυνατὸν ὑπομένειν τὸν ἀσθενοῦντα, ἔπειτα βαστάσας τὸ φάρμακον λούεσθαι παραίνει. κατὰ δὲ τὸ βαλανεῖον χρηστέον κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου. ἄλλο τὸν ὄγκον ἐκτήκει. ♃ λίθου Ἀσίου τοῦ ἄνθους, νίτρου
13.254 ἐρυθροῦ, μυροβαλάνου πιέσματος, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ʃ κδ′. καππάρεως ῥίζης τοῦ φλοιοῦ ʃ η′. ῥαφάνου σπέρματος ʃ ι′. ἢ τοῦ χυλοῦ κύαθον α′. ὄξους δριμυτάτου τὸ αὔταρκες, ἰξοῦ δρυΐνου ʃ μ′. διάλυε ἀμμωνιακὸν ἀκτῆς χυλῷ ἢ μυρίκης ἢ τριφύλλου. τὰ δὲ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ καὶ ὄξει φυράσας καὶ μίξας ἐπίβαλλε τὸν ἰξὸν, καὶ ἀνακόψας ἀνελόμενος χρῶ.

Τὰ ὑπ᾽ Ἀρχιγένους ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων γεγραμμένων σπληνικοῖς. Ἐπὶ δὲ τῶν σπληνικῶν προηγουμένης ὁμοίως τῆς ὅλης διαίτης, ἐκ τῶν ἀναγραφησομένων συνθέσεων τοῖσδε χρῶ.

πόμα μὲν ὕδωρ, σιδήρου διαπύρου πολλάκις ἐναποσβεσθέντος αὐτῷ, ἀπυρέτοις μὲν μετ᾽ οἴνου, πυρέσσουσι δὲ ὕδωρ πιεῖν. ἢ ἀναγαλλίδος τῆς τὸ κύανον ἄνθος ἐχούσης ὀβολὸν ἕνα μετ᾽ ὀξυμέλιτος, ἢ ἕρπυλλον μετ᾽ ὄξους, ἢ πάνακος ῥίζαν χλωρὰν πότιζε μετὰ μελικράτου, ἢ τὸν καρπὸν ὁμοίως, προεξαιθρίαζε δὲ τὸ μελίκρατον, ἢ περικλυμένου ῥίζης φλοιοῦ
13.255 καὶ τοῦ καρποῦ ὅσον τοῖς τρισὶ δακτύλοις, ἐν ἀκράτῳ οἴνῳ θερμῷ λευκῷ δίδου πίνειν νήστει ἐπὶ ἡμέρας μ′. ἢ ἀλώπεκος ξηρὸν ἧπαρ μετ᾽ ὀξυμέλιτος δίδου πίνειν, ἢ κύμινον Αἰθιοπικὸν, ὁμοίως τῷ ἥπατι πινόμενον ἐν ὀξυμέλιτι, ἢ ἄρου ῥίζης φλοιοῦ ‹ ΄΄. μετ᾽ ὀξυμέλιτος κυάθων γ′. ἢ πόλιον ὁμοίως μετ᾽ ὀξυμέλιτος, ἢ κισσοῦ λευκοῦ κόκκους γ′. μετ᾽ ὀξυμέλιτος κυάθων γ′. ἢ καππάρεως λεῖα ξηρὰ φύλλα μετ᾽ ἀκράτου πότιζε. κατάπλασσε δὲ τοὺς σπληνικοὺς τοῖσδε πρὸς τοὺς ἡπατικούς· καὶ ἔτι τέφρα ἐκ χαλκείου μετ᾽ ὄξους, ἢ καππάρει βεβρεγμένῃ ἐν ὄξει λείᾳ ἀνειλημμένῃ κηρωτῇ κυπρίνῃ, ἢ τῷ διὰ καρδάμου καὶ τήλεως καὶ ἀσβέστου καὶ νίτρου καὶ μέλιτος μαλάσσων ἐπιτίθει, ἢ τήλεως καὶ ἀσβέστου καὶ νίτρου καὶ μέλιτος μαλάσσων ἐπιτίθει, ἢ κατάπλασσε λεπιδίου φύλλοις. ὅταν δὲ ἤδη δάκνωνται, εἰσαγαγὼν εἰς τὸ βαλανεῖον, ἄρας τὸ φάρμακον εἰς ζεστὸν ἐμβίβαζε καὶ κάτεχε. δυσανασχετοῦσι γὰρ ὑπερδακνόμενοι, ὑγιεῖς δὲ ἐξίασι. τὸ αὐτὸ δὲ καὶ ἐπὶ ἰσχιαδικῶν ποιεῖ. ἢ μυροβαλάνου τὸ πίεσμα ὄξει βρέξας, ῥοδίνῃ κηρωτῇ
13.256 μίσγε καὶ ἐπιτίθει, ἢ τήλεως καὶ καρδάμου τὸ ἴσον, μάννης τὸ διπλοῦν, ἀσβέστου βραχὺ σὺν μέλιτι, ὡς ἐμπλάστρῳ σπλήνια ποιήσας ἐπιτίθει, ἢ τρύγα ὄξους δριμέος ἐπιτίθει. καππάρεως ῥίζαν μετ᾽ ὄξους, ἢ σπόγγον ἐξ ὄξους δριμυτάτου. ἄκρως ποιεῖ μυροβαλάνου λεπύχανα καὶ νίτρου τὸ τρίτον, λεῖα ὄξει φυράσας. ῥητίνην καὶ κηρὸν κατ᾽ ὀλίγον ἐλαίου τήξας ἐπίχει καὶ μαλάξας χρῶ. ἐπιμένοντος δὲ σικύας πρόσβαλλε παραμύσσων. περίαπτα δὲ καὶ ἀντιπαθῆ πρός τε ἧπαρ καὶ σπλῆνα τάδε δοκεῖ πεπιστεῦσθαι. τὴν ὑπὲρ τὸ ἀριστερὸν οὖς φλέβα λύσας, ἀνάτριβε τῷ αἵματι τὸν πεπονθότα σπλῆνα.

Περὶ ὕδρωπος. Ὑδρωπικῶν φάρμακα καὶ ἄλλα κοινὰ πρὸς τοὺς σπληνικοὺς αὐτοὺς καὶ ἄλλα τινὰ πολύχρηστα πρός τε τὰ προειρημένα πάθη καὶ σκληρίας καὶ ὅπου τι διαφορῆσαι χρὴ, κἂν ἤδη πυώδης ᾖ

σύστασις. ἄρξομαι δὲ καὶ ἐπὶ τούτων ἀπὸ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων.

13.257 Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα φάρμακα πρὸς τὰ εἰρημένα πάθη κατὰ τὸ δ . τῶν ἐντὸς, ἃ Μαρκέλλας ἐπιγράφει. Ἐπίθεμα ὑδρωπικοῖς σφόδρα καλὸν καὶ τὸ παρακείμενον ὑγρὸν ἀναπίνει. φάρρους, ὃ καλοῦσι ζέαν, ἀληλεσμένου ξε. β . λίθου Ἀσίου τοῦ ἄνθους ξε. α . μάννης λίτραν α . λεάνας ἐπιμελῶς ἀναλάμβανε στέατι ὑείῳ παλαιῷ κατειργασμένῳ, ἐν οἴνῳ βεβρεγμένῳ νυκτὶ ὅλῃ, τὸ δὲ πλῆθος ἔστω τοῦ ὑείου ὅσον δύναται ἐπιβληθὲν εὐαφὲς ποιῆσαι τὸ φάρμακον. ἄλλο. Βήσασα, σπέρμα δέ ἐστιν ἐν Συρίᾳ γεννώμενον τοῦ ἀγρίου πηγάνου, ὃ δὴ οἱ ἐντόπιοι ἅρμαλα καλοῦσιν. τούτου κεκομμένου ξε. α . μάννης ξε. . στέατος ὑείου παλαιοῦ ὅσον ἐξαρκεῖ, σκεύαζε καθὰ προείρηται. ἄλλο. σύκων λιπαρωτάτων λίτρας γ . ἀφρονίτρου λίτραν α . ὀριγάνου λίτραν α . τινὲς κυμίνου λίτραν α . θείου ἀπύρου γο γ . κοχλιῶν Ἀφρικανῶν λίτραν α . τὰ ξηρὰ κόπτε καὶ σῆθε καὶ ἀναλάμβανε σύκοις κεκομμένοις σὺν ταῖς σαρξὶ τῶν κοχλιῶν, ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει, μέλιτος ἐφθοῦ ἐπίβαλλε ὅσον ἐξαρκεῖ.

13.258 Ἄλλο ἐκ τῶν Κρίτωνος. ℈ Τήλεως ἀληλεσμένης καὶ σεσησμένης ξε. β . θείου ἀπύρου λίτρας β . ἐν ἄλλοις ℵ β . νίτρου λίτρας β . ἀψινθίου ξηροῦ λείου καὶ σεσησμένου ξε. β . τὰ ξηρὰ λειότατα ποιήσας ἀναλάμβανε μέλιτι ἐφθῷ, εἶτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει εἰς νύκτα. περὶ δὲ τὴν ἡμέραν χρῶ καὶ αἰώρα καὶ τῇ ὑπογεγραμμένῃ σκευασίᾳ. κηροῦ λίτραν α . πίσσης ξηρᾶς λίτραν α . λίθου Ἀσίου λίτραν α . ἐλαίου παλαιοῦ λίτραν α . τὰ τηκτὰ κατὰ τῶν ξηρῶν.

Μάλαγμα τὸ ποτήριον ἐπιγραφόμενον, ἀναπίνει τὰς ἐν βάθει ὑγρασίας καὶ σκίρρους διαλύει. ℈ Κηροῦ, πίσσης ξηρᾶς ἀνὰ λίτρας β′. στυπτηρίας ὑγρᾶς, θείου ἀπύρου, μάννης, νίτρου ἐρυθροῦ ἀνὰ λίτραν α′. ῥητίνης φρυκτῆς λίτρας τέσσαρας, ἐλαίου παλαιοῦ κοτύλην α′. ὄξους ὥστε τὰ ξηρὰ διαλῦσαι ὅσον ἐξαρκεῖ, καὶ χρῶ σκευάσας ὡς δοκίμῳ. ἄλλο γενναῖον ἢ ποτήριον φάρμακον ἐπιτετευγμένον. ποιεῖ ὑδρωπικοῖς, σπληνικοῖς καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις. ℈ ῥητίνης φρυκτῆς λίτρας δ′. κηροῦ λίτρας β′. θείου ἀπύρου λίτραν α′. μάννης λίτραν α′.

13.259 πίσσης ὑγρᾶς λίτρας β′. στυπτηρίας ὑγρᾶς λίτραν α. νίτρου ἐρυθροῦ λίτραν α. ἀριστολοχίας γο γ. βδελλίου γο γ. ἀμώμου βότρυος γο γ. σικύου ἀγρίου ῥίζης γο γ. ἀλόης γο στ. πυρέθρου γο γ. ἀμμωνιακοῦ θυμιάματος γο γ. ἰξοῦ δρυΐνου γο γ. ὀποῦ συκομόρων γο γ. ὄξους ξε. α. ἢ οἴνου Ἰταλικοῦ ἀντὶ τοῦ ὄξους βάλλομεν, ἐλαίου κοτύλας γ. σκεύαζε κατὰ τρόπον.

Μάλαγμα διὰ δαφνίδων, σπληνικοῖς, ὑδρωπικοῖς· διαλύει πᾶσαν σκληρίαν, ἀναπίνει τὰς ἐν βάθει ἀποστάσεις. ℩ Κηροῦ λίτραν α′. πιτυΐνης λίτραν α′. πίσσης Βρυτίας λίτραν α′. δαφνίδων ξηρῶν λίτραν α′. νίτρου ἐρυθροῦ λίτραν α′. ἀμμωνιακοῦ θυμιάματος λίτραν α′. στέατος μοσχείου κατειργασμένου λίτραν α′. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ. τὰ δὲ τηκτὰ τήκεται καὶ ψύχεται καὶ τοῖς ξηροῖς ἐπιβάλλεται, καὶ ἀνακόψαντες ἀνελόμενοι χρώμεθα. ἄλλο. ℩ δαφνίδων λίτραν α′. πίττης λίτραν α′. μάννης λίτραν α′. στέατος ταυρείου λίτραν α′. ἀμμωνιακοῦ θυμιάματος λίτραν α′. κηροῦ λίτραν α′. σκεύαζε καθὰ
13.260 προείρηται. ἡ τοῦ κουρέως λεγομένη σπληνικὴ, ὑδρωπική. ταύτῃ κουρεὺς ἀπὸ Βιθυνίας ἀνὴρ χρώμενος, ἰσχιαδικοὺς ἀπήλλαττε παντελῶς. πίσσης ξηρᾶς λίτρας δ. κηροῦ λίτρας β. πιτυΐνης λίτρας β. ἀμμωνιακοῦ θυμιάματος λίτρας β. νίτρου ἐρυθροῦ λίτρας β. δαφνίδων ξηρῶν λίτρας β. στέατος ταυρείου λίτραν α. ἐν ἄλλῳ καὶ ἴρεως λίτρας β. κάγχρυος γο ιη. ἀλεύρου τηλίνου ξε. α. γύρεως ξε. α. χαμαιλέοντος μέλανος ῥίζης κεκομμένης λειοτάτης ξέστην α. κυμίνου λειοτάτου ξε. α. γλυκέος ξε. α. ἐν ἄλλῳ ἀνίσου λειοτάτου ξε. . τὴν δὲ γύριν οὐκ ἔχει.

Ἄλλη Βιθυνὴ λεγομένη φάρμακον ἐπιτετευγμένον, πρὸς τὰς προειρημένας διαθέσεις. Πίσσης Βρυτίας λίτρας δ. ῥητίνης πιτυΐνης, κηροῦ, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ λίτρας β. μυελοῦ ἐλαφείου λίτραν α. στέατος ταυρείου κατειργασμένου λίτραν α. ὀποῦ συκομόρου λίτραν α. λίθου Ἀσίου τοῦ ἄνθους γο στ. χαμαιλέοντος μέλανος τῆς ῥίζης κεκομμένης γο στ. δαφνίδων ξηρῶν λίτρας . ἀλεύρου ἰρίνου λίτρας . δαύκου Κρητικοῦ σπέρματος κεκομμένου γο δ. πετροσελίνου γο δ′. κυμίνου Αἰθιοπικοῦ γο δ′. ἀνίσου γο δ′. ἁλῶν Σπανῶν
13.261

γο στ′. ἀφρονίτρου γο στ′. κυπρίνου γο στ′. οἴνου Φαλερίνου ὅσον ἐξαρκεῖ, τὰ ξηρὰ φυράσας σκεύαζε κατὰ τρόπον.

Μάλαγμα τὸ διὰ τῶν σπερμάτων φάρμακον ἐπιτετευγμένον πρὸς τὰς προειρημένας διαθέσεις. τούτῳ ἐχρήσατο Ὀλύμπιος. ⪤ Κηροῦ ⸂ ρ′. τερμινθίνης ⸂ ρ′. ἀμμωνιακοῦ θυμιάματος ⸂ ρ′. στέατος ταυρείου ⸂ ρ′. ἀνίσου ⸂ ρ′. τήλεως ⸂ ρ′. πετροσελίνου ⸂ ρ′. ἄμμεως, ἴρεως Ἰλλυρικῆς ἀνὰ ⸂ ν′. πάνακος ⸂ ρ′. νίτρου ⸂ ν′. γλυκυρρίζης ⸂ ν′. κυπέρου ⸂ κε′. βράθυος ⸂ κε′. σαμψύχου ⸂ κε′. μελιλώτου ⸂ κε′. καρδαμώμου ⸂ ιβ′ ′′. κασσίας σύριγγος ⸂ ιβ′ ′′. νάρδου Κελτικῆς, δαύκου Κρητικοῦ τῆς ῥίζης ἀνὰ ⸂ ιβ′ ′′. μέλιτος κοτύλης ′′. οἴνου εὐώδους ὅσον ἐξαρκεῖ, σκεύαζε κατὰ τρόπον. ἄλλο. ⪤ κηροῦ μνᾶν α′. ἀμμωνιακοῦ θυμιάματος μνᾶν α′. τερμινθίνης μνᾶν α′. σαμψύχου, δαφνίδων, κυπέρου ἀνὰ μνᾶς ′′. ἴρεως Ἰλλυρικῆς μνᾶς τέταρτον, ὅ ἐστι ⸂ λ′. λινοσπέρμου πεφωγμένου μνᾶς δ′.
13.262 τήλεως, πάνακος ἀνὰ μνᾶς δ′. στέατος ταυρείου μνᾶς δ′. σικύου ἀγρίου ῥίζης ξηρᾶς, ἀνίσου, σελίνου σπέρματος, ἄμμεως, κυμίνου, μαράθρου, νίτρου ἀνὰ μνᾶς δ′. πεπέρεως ⸂ ιβ′ ′′. μέλιτος κοτύλην, οἴνου κοτύλην α′ ′′. κυπρίνου κοτύλην α′ ′′. ὄξους κοτύλην α′ ′′. συντίθει καὶ χρῶ.

Ἐκ τῶν Ἀνδρομάχου πρὸς ὑδρωπικοὺς καὶ ἐμπνευματώσεις. ⪤ Πίσσης ὑγρᾶς λίτρας β′. κηροῦ λίτραν α′. νίτρου γο στ′. θείου ἀπύρου γο στ′. στυπτηρίας γο στ′. πρὸς ὑδρωπικοὺς Κλεοφάντου. ⪤ κηροῦ, ῥητίνης, ἀφρονίτρου ἀνὰ ⸂ ρ′. χαλβάνης ⸂ ιβ′ ′′. προπόλεως ⸂ ιβ′ ′′. ἀμμωνιακοῦ θυμιάματος ⸂ ιβ′ ′′. κυπρίνου κυάθους β′. ὄξους κυάθους δύο.

Ἀρχιγένους ἐκ τοῦ δευτέρου τῶν κατὰ γένος φαρμάκων. Ὑδρωπικοῖς δίαιτα, ὡς προσῆκε. κατάπλαττε μὲν βολβίτῳ ἀγελαίας βοὸς, ξήραινε δὲ αὐτὸ ἐπιμελῶς, καὶ λεάνας ἔψε ἐν ὀξυκράτῳ ὠμῆς λύσεως τρόπον, προσεμπάσας θείου ἀπύρου τὸ τέταρτον μέρος, ὅλῳ δὲ τῷ κύτει
13.263 ἐπίβαλλε. ὡς Μούσας κατέπλαττεν αὐτοὺς, ἐλατηρίῳ, σταφίδι ἀγρίᾳ, ὑσσώπῳ, χολῇ ταυρείᾳ, ἴσοις σύκοις κεκομμένοις ἀναληφθεῖσιν. ἢ σικύου ἀγρίου τῆς ῥίζης μνᾶ μία, ἑψημένης ἐν οἴνῳ. σύκων ὁμοίως ἑψημένων μνᾶς . ταῦτα ὁμοῦ λέαινε παραχέων τοῦ ἀφεψήματος αὐτοῖς, μέχρι μαλαγματῶδες ποιήσῃς, εἶτα μίξας αὐτῆς ἀλθαίας λείας

ῥίζης τὸ ἴσον καὶ συνέψων συλλέαινε καὶ οὕτω κατάπλαττε. ἢ σπυράθους αἰγείους ἕψων ἐν οὔρῳ παιδίου ἀφθόρου ἢ αὐτῆς αἰγὸς τῷ οὔρῳ, γλοιοῦ ποιῶν πάχος κατάπλασσε, ἄκρως αὐτοὺς διὰ κοιλίας καθαίρει. ἄλλο. ἐλλέβορον μέλανα, χολὴν ταυρείαν, νίτρον, πέπερι, ἴσα σὺν μέλιτι καταπλάσσων τὴν κοιλίαν ἐπὶ ἡμιώριον. παρ᾽ ὅλην δὲ τὴν ἀγωγὴν ποτίζειν τινὶ τούτων. ⳋ κοτυληδόνος ⸉ α′. σκίλλης καθαρᾶς ξηρᾶς ⸉ α′. ἐν οἰνομέλιτι κεκραμένῳ δίδου καθ᾽ ἡμέραν. ἢ ἄρου ῥίζης φλοιοῦ ⸉ α′. καὶ κνεώριον, ἣν ἔνιοι χαμελαίαν καλοῦσι, χυλίσας καλάμων τοὺς πρὸς ταῖς ῥίζαις ἁπαλοὺς ὄχθους λάβε κυάθους γ′. μίξας τε τὰ προειρημένα
13.264 δίδου καθ᾽ ἡμέραν πίνειν. κάλλιστα δὲ ποιεῖ τοῦτο, ⳋ καρκίνου ποταμίου ξηροῦ χωρὶς τῶν ποδῶν καὶ χηλῶν λελειωμένου ⸉ α′. ἀσάρου ⸉ α′. μίξας ὕδατι ἐξ αὐτοῦ τοῦ ποταμοῦ, ὅθεν οἱ καρκίνοι, δίδου πίνειν. ἐνίοτε δὲ ἀντὶ τοῦ ἀσάρου ὀποβαλσάμου προσβάλλεται ἴσον. ἢ ⳋ κοραλλίου ⸉ α′. στυπτηρίας σχιστῆς ⸉ α′. ὀβολοὺς β′. λεάνας μετὰ καλαμίνθης ἀποβρέγματος, ἀνάπλαττε διοβολιαίους τροχίσκους καὶ δίδου πίνειν ἐν τῷ τῆς καλαμίνθης ὕδατι ὀβολὸν, ἄκρως ποιεῖ καὶ πρὸς νεφριτικούς. ἢ τὴν ῥίζαν τῆς καλαμίνθης καθεψήσας πότιζε. ἢ τὸ σίον λεγόμενον πότιζε· τοῦτο δὲ καὶ ἐσθίειν δίδου. ἢ τριβόλου τὰ φύλλα. ἢ τὴν ῥίζαν μετ᾽ οἴνου δίδου. ἢ ἐν βαλανείῳ ἁλὶ καὶ ἐλαίῳ ἐπιμελῶς, ἄχρις ἂν ἱδρώσωσιν, ἀλείψας ἔξαγε καὶ μόνους τοὺς διδύμους ἀποκλύσας ἀφιδροῦντας, πρῶτον ὀθονίοις, εἶτα τοῖς λοιποῖς περιβολαίοις συσκεπάσας, κόμιζε καὶ δίδου φουρνίτου ἄρτου μετὰ ἰσχάδων ἱκανῶν φαγεῖν, πότιζε δὲ οἴνῳ μέλανι Ἰταλικῷ ἢ σπικάτῳ προσφάτῳ, ἐνεψημένων αὐτῷ σύκων γο δ′. εἰς τοὺς ξε. στ′. μέχρι τὸ γ′. λειφθῇ, καθαίρει δι᾽ οὔρων. ἢ αἰγὸς οὔρου
13.265 κοχλιάριον α′. μετὰ νάρδου ⸉ α′. θερμάνας δίδου πίνειν. ἢ σίκυον ἄγριον οἴνῳ ναρδίνῳ ἢ Ἀμιναίῳ ἐναποβρέξας τρὶς, ἐκ τοῦ ἀποβρέγματος δίδου κύαθον α′. καὶ προστίθει κατὰ βραχὺ, ἕως κυάθων τριῶν. ἢ σεσέλεως δίδου πίνειν ἢ ἐσθίειν. ἢ δαφνοειδοῦς λείου ἡλίκον θέρμον ἐπιπάσσων, δίδου πιεῖν, ἄγει οὖρα πολλά. ἢ ἄρου ῥίζης φλοιὸν ἐν οἴνῳ. ἢ λεπίδος χαλκοῦ ⸉ α′. ἄρτου τὸ ἐντὸς ἀναλαβὼν καταπότια ποίει καὶ δίδου· ὕδωρ ἄγει εὐτόνως. ἢ ⳋ χαλκοῦ κεκαυμένου ⸉ α′. πηγάνου κλωνία τρία, περιστερᾶς κόπρου ⸉ α′. ἁλὸς κοινοῦ ὀλίγον μετ᾽ οἴνου Ἐφεσίου καὶ ὕδατος τὸ πᾶν κρᾶμα κοτύλης . δίδου. ἄκρως ποιοῦσιν αἵ τε

θηριακαὶ διουρητικαὶ πᾶσαι, ἔτι τε τὰ ἑκάστῳ διὰ πείρας ἀκίνδυνα ὑδραγωγὰ πότιμα ἢ καταπότια, διάχριε δὲ τοὺς ὑδρωπικοὺς ἐπὶ πολὺ ἐν ἡλίῳ, σκέπων τὴν κεφαλὴν, μιγνὺς τῷ ἐλαίῳ ἅλας πολλοὺς, καταιόνα τε ἅλμῃ πολλῇ καὶ θερμῇ, τοὺς ἐμπεφυσημένους μάλιστα τόπους. κύστεις εὐμεγέθεις ἐμφυσήσας ἐπιμελῶς κατάκρουε καθ' ἡμέραν συνεχῶς,
13.266 πιλοῦνται γὰρ καὶ προστέλλονται. διελὼν δὲ τὰ σφυρὰ αὐτῶν ἢ καὶ σχάσας ἐν φορείῳ αἰώρει, πολὺ γὰρ διαρρεῖν ὑγρὸν εἴωθεν αὐτοῖς.

Πρὸς τὰς αὐτὰς διαθέσεις ἡ τοῦ Βιεννίου. ♃ Κρόκου, ὀπίου, ὀποπάνακος, σμύρνης, ἴρεως, ἀκόρου, μανδραγόρου, ἀσάρου, κόστου, νάρδου Ἰνδικῆς, δαύκου Κρητικοῦ, μήου ἀνὰ ‹ η΄. πεπέρεως λευκοῦ καὶ μακροῦ, γεντιανῆς, στοιχάδος, κασσίας, φοῦ Ποντικοῦ ἀνὰ ‹ η΄. μέλιτι ἀναλάμβανε.

Περὶ τῶν ἀνωδύνων τε καὶ κωλικῶν ὀνομαζομένων φαρμάκων. Τοῖς τοιούτοις φαρμάκοις ἕνεκα μεγάλης ὀδύνης ἢ ἀγρυπνίας ἢ τοῦ μὴ σπαράττεσθαι χάριν διὰ βῆχα βιαίαν, ὡς ἐφ' αἵματος ἀναγωγῆς ἐνίοτε γίνεται καὶ κατάρρων χαλεπῶν, εἰώθαμεν χρῆσθαι. κατὰ μέντοι τὰ μετριώτερα τῶν εἰρημένων αἱ διὰ τῶν σπερμάτων ἰδίᾳ ὀνομαζόμεναι βηχικαὶ δυνάμεις αὐτάρκεις, ἔχουσαι μὲν πάντως τι καὶ αὗται τῶν καρωτικῶν φαρμάκων, ἀλλ' ὀλίγον ἐν πολλοῖς τοῖς σπέρμασιν, ἅπερ εὐώδη τέ ἐστι καὶ λεπτομερῆ καὶ διουρητικά. προσαγορεύουσι δὲ
13.267 πολλάκις αὐτὰ οἱ ἰατροὶ καὶ χωρὶς τοῦ προσθεῖναι τὸ τοῦ σπέρματος ὄνομα, κύμινον λέγοντες καὶ δαῦκον καὶ σέσελι, σέλινόν τε καὶ ἄνισον. αἱ μὲν οὖν τῶν τοιούτων φαρμάκων συνθέσεις ἐν ταῖς βηχικαῖς ὀνομαζομέναις δυνάμεσιν εἴρηνται. τὰς δὲ τῶν ἀνωδύνων τε καὶ κωλικῶν, αἵπερ εἰσὶν ὁμογενεῖς μὲν ἐκείναις, σφοδρότεραι δὲ πολὺ ταῖς δυνάμεσιν, ἐν τῷδε τῷ λόγῳ δηλώσω. πρώτη μὲν οὖν αὐτῶν, ὡς ἔοικεν, ἐν τοῖς πάλαι χρόνοις, ἡ τοῦ Φίλωνος ἔνδοξος ἐγένετο, περὶ ἧς αὐτὸς ἐποίησε τάδε τὰ ἐλεγεῖα.

Ἡ Φίλωνος ἀντίδοτος.
Ταρσέος ἰητροῖο μέγα θνητοῖσι Φίλωνος
Εὕρεμα, πρὸς πολλάς εἰμι παθῶν ὀδύνας.
Εἴτε κόλον πάσχει τις ἄπαξ δοθὲν, εἴτε τις ἧπαρ,

Εἴτε δυσουρίῃ ἴσχεται, εἴτε λίθῳ.
Ἰῶμαι καὶ σπλῆνα καὶ ὀρθόπνοιαν ἀνηρὴν,
Καὶ φθίσιν ἰῶμαι, σπασμὸν ἐνιστάμενον,
Καὶ σφαλερὴν πλευρῖτιν. ἀποπτύων δέ τις αἷμα
Ἢ ἐμέων, ἔξει μ' ἀντίπαλον θανάτου.
13.268 Πάντα δ' ὅσα σπλάγχνοισιν ἐνίσταται ἄλγεα παύω,
Βῆχά τε καὶ πνιγμὸν, λύγγα τε καὶ κατάρουν.
Γέγραμμαι δὲ σοφοῖσι, μαθὼν δέ τις οὐ βραχύ μ' ἔξει
Δῶρον, ἐς ἀξυνέτους δ' οὐκ ἐπόθησα περᾶν.
Ξανθὴν μὲν τρίχα βάλλε μυρίπνοον ἰσοθέοιο,
Οὗ λύθρος Ἑρμείας λάμπεται ἐν βοτάναις.
Κρόκου δὲ σταθμὸν φρένας ἀνέρος, οὐ γὰρ ἄδηλον,
Βάλλε δὲ καὶ δραχμὴν Ναυπλίου Εὐβοέως.
Καὶ τρίτου ἐν Τρώεσσι, Μενοιτιάδαο φονῆος,
Δραχμὴν τὴν μήλων γαστέρι σωζομένην.
Ὁλκὰς δ' ἀργεννοῖο πυρώδεος εἴκοσι βάλλε,
Εἴκοσι καὶ κυάμου θηρὸς ἀπ' Ἀρκαδίης.
Δραχμὴν καὶ ῥίζης ψευδωνύμου, ἣν ἀνέθρεψε
Χῶρος, ὁ τὸν Πίσσῃ Ζῆνα λοχευσάμενος.
Πῖον δὲ γράψας, ἄρθρον βάλε πρῶτον ἐπ' αὐτῷ,
Ἄρρεν ἑνὶ δραχμὰς πέντε δὶς ἑλκόμενον.
13.269 Νᾶμα δὲ θυγατέρων ταύρων καὶ Κεκροπίδαισι
Συγγενὲς, οἳ Τρίκκης, ὡς ἐνέπουσιν ἐμοί.
Γαληνοῦ ἐξάπλωσις τῆς Φίλωνος ἀντιδότου. Ἐν τούτοις τοῖς ἔπεσιν ὁ Φίλων κελεύει κρόκου μὲν ‹ ε΄. ἐμβάλλεσθαι, πυρέθρου δὲ μίαν, εὐφορβίου μίαν, στάχυος νάρδου μίαν, πεπέρεως δὲ λευκοῦ καὶ ὑοσκυάμου τὸ ἴσον, ἑκατέρου ‹ κ΄. ὀπίου δὲ ‹ ι΄. οἱ μὲν οὖν πρῶτοι δύο στίχοι τὸν κρόκον δηλοῦσιν, ξανθὸν μὲν τῇ χρόᾳ ὄντα, τριχοειδῆ δὲ τῇ λεπτότητι. λύθρον δὲ τοῦ κρόκου φησὶν ἐν ταῖς Ἑρμείαις, τουτέστι ταῖς τοῦ Ἑρμοῦ λάμπεσθαι βοτάναις. ἐπειδὴ μειράκιον καλούμενον Κρόκος, ἅμα τῷ Ἑρμῇ δισκεύων, εἶθ' ἑστὸς ἀμελέστερον, ἐμπεσόντος αὐτῷ δίσκου τῇ κεφαλῇ, συνέβη μὲν ἀποθανεῖν αὐτίκα, τοῦ δ' αἵματος εἰς τὴν γῆν ἀναχθέντος, ἐξ αὐτοῦ φῦναι τὸν κρόκον.

λάμπεσθαι δὲ εἶπε τὸν λύθρον, τουτέστι τὸ ἀπὸ τοῦ σφαγέντος αἷμα, διὰ τὸ στιλπνὸν τῆς χρόας τοῦ κρόκου. γράφεται δὲ οὐ μόνον βοτάναις, ἀλλὰ καὶ πεδίοις ὡδί πως ὁ στίχος, Ἑρμείοις λάμπεται ἐν πεδίοις. σταθμὸν δὲ ἀξιοῖ τοῦ κρόκου πέντε δραχμὰς εἶναι, φρένας ἀνέρος εἰπὼν τὰς
13.270 αἰσθήσεις, οὔσας πέντε. ὅτι δὲ δραχμὰς πέντε βούλεται εἶναι καὶ οὔτε ὀβολοὺς οὔτε λίτρας οὔτε ἄλλο τι τοιοῦτον, ἐνδείκνυται διὰ τῶν ἑξῆς, πρῶτον μὲν εἰπών, μίσγε δὲ καὶ δραχμὴν Ναυπλίου Εὐβοέως, εἶθ' ἑξῆς καὶ τοῖς ἄλλοις προστιθεὶς ταὐτὸν ὄνομα τὸ τῆς δραχμῆς. Ναύπλιον μὲν οὖν Εὐβοέα τὸ πύρεθρον λέγει, διότι Ναύπλιος πυρὰς μεγάλας καύσας, ὥς φασι, κατὰ τὸν τῆς Εὐβοίας λιμένα, πολλοὺς τῶν Ἑλλήνων ἐξηπάτησεν, ὡς ἐπὶ χώραν εὐλίμενον καταίροντας ἀπολέσθαι. ἐργάσασθαι δέ φασιν αὐτὸν τοῦτο διὰ τὸν τοῦ Παλαμήδους θάνατον. καὶ μὴν καὶ τὸ εὐφόρβιον, αἰνιγματωδῶς ὁμοίως τούτοις κέκληκεν εἰπὼν καὶ τρίτου ἐν Τρώεσσι, Μενοιτιάδαο φονῆος, ἐπειδὴ ὁ ποιητὴς ἐποίησε λέγοντα τὸν Πάτροκλον,

Ἀλλά με Μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱὸς,
Ἀνδρῶν δ' Εὔφορβος.

μήλων δὲ, τουτέστι προβάτων, ἐν τῇ γαστρὶ διασώζεσθαί φησι τὸ εὐφόρβιον, ὅτι μόνην ταύτην οὐ διαβιβρώσκει, καὶ διὰ τοῦτο δυνατόν
13.271 ἐστιν ἀποτίθεσθαι κατ' αὐτὴν τὸ φάρμακον. ὀπὸς δέ ἐστι φυτοῦ τινος ἀκανθώδους ἐν τῇ τῶν Μαυρουσίων γῇ φυομένου, θερμότατος τῇ δυνάμει, καὶ γέγραπται περὶ αὐτοῦ βιβλίδιόν τι σμικρὸν Ἰόβᾳ τῷ βασιλεύσαντι τῶν Μαυρουσίων. ἐφεξῆς δὲ ὁ Φίλων φησὶν, δραχμὰς δ' ἀργεννοῖο πυρώδεος εἴκοσι βάλλε, ὡς λευκὸν πέπερι σημαίνων. ἔστι δὲ εὐστομαχώτερον καὶ δριμύτερον τοῦ μέλανος. εἴκοσι δ' ἀξιοῖ δραχμὰς ἐμβάλλεσθαι σπέρματος ὑοσκυάμου, γράψας καὶ τοῦτο αἰνιγματωδῶς, εἴκοσι καὶ κυάμου θηρὸς ἀπ' Ἀρκαδίης, ἐπειδὴ τὸν Ἐρυμάνθιον κάπρον ὁ Ἡρακλῆς ἀποκτεῖναι λέγεται, κατὰ τὴν τῶν Ἀρκάδων γῆν αὐξηθέντα. νάρδου δὲ καὶ αὐτῆς ⸂α΄. ἀξιοῖ βάλλειν, ἣν ψευδώνυμον εἴρηκε ῥίζαν, ἐπειδὴ στάχυς ὀνομάζεται νάρδου. βούλεται δ' αὐτὴν εἶναι Κρητικὴν, ἔνθα φησὶν, ἣν ἀνέθρεψε χῶρος ὁ τὸν Πίσσῃ Ζῆνα λοχευσάμενος, ἐπειδὴ τὸν Δία φασὶν οἱ μυθολόγοι κατὰ τὸ Δικταῖον ὄρος ἐν Κρήτῃ τραφῆναι, κρυπτόμενον ὑπὸ τῆς μητρὸς Ῥέας, ὅπως μὴ καὶ αὐτὸς ὑπὸ τοῦ πατρὸς

τοῦ Κρόνου καταποθῇ. προσέθηκε δὲ τῷ Διὶ τὴν Πίσσαν, ὡς εἰώθασι
13.272 πολλοὶ καὶ χωρὶς ποιητικῆς ἐν τῷ βίῳ λέγειν, μὰ τὸν ἐν Περγάμῳ
Ἀσκληπιὸν, μὰ τὴν ἐν Ἐφέσῳ Ἄρτεμιν, μὰ τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, μὰ
τὸ ἐν Ἐλευσῖνι πῦρ. ἔνιοι δὲ οὐ τὴν Κρητικὴν χώραν, ἀλλὰ τὴν Ἰνδικὴν
εἰρῆσθαί φασιν, ἐξ ἧς ὁ ἐλέφας φέρεται. ἐκ τούτου γὰρ τὸ ἐν Πίσσῃ τοῦ
Διὸς ἄγαλμα λελοχεῦσθαι, τουτέστι γεγενῆσθαι τούτοις ἅπασι μίγνυσθαι
κελεύει τὸν τοῦ μήκωνος ὀπὸν, εἰθισμένον ὑπὸ τῶν ἰατρῶν ὄπιον ἰδίως
ὀνομάζεσθαι, μηδενὸς τῶν ἄλλων ὀπῶν, καίτοι παμπόλλων ὄντων κατὰ
τὸ καλούμενον οὐδέτερον γένος ὀνομαζομένων. ἐπεὶ τοίνυν τὸ ὄνομα ἐκ
τῆς ο φωνῆς καὶ τῆς πίον σύγκειται, διὰ τοῦτο ἔφη

Πῖον δὲ γράψας ἄρθρον βάλε πρῶτον ἐπ᾽ αὐτῷ
Ἄρρεν ἑνὶ δραχμαῖς πέντε δὶς ἑλκόμενον,

ὅπερ ἐστὶν ἔμβαλλε καὶ τοῦ ὀπίου ‹ ι΄. ὑπόλοιπον δέ ἐστιν ᾧ πάντα ταῦτα
ἀναλαμβάνεται λειωθέντα, τὸ μέλι κεκλημένον ὑπ᾽ αὐτοῦ συμβολικῶς,
νᾶμα ταύρου θυγατέρων, ἐπειδὴ σηπομένων τῶν ταύρων γεννᾶσθαί φασι
13.273 τὰς μελίσσας. Ἀττικὸν δὲ αὐτὸ βουλόμενος εἶναι, συγγενὲς ἔφη τοῖς
Κεκροπίδαις, τουτέστι τοῖς Ἀθηναίοις. διὰ δὲ τοῦ τελευταίου τῶν ἐπῶν
δηλοῖ καὶ τοὺς Ἀσκληπιάδας οὕτως ὀνομάζειν. ἐκ Τρίκκης γὰρ τὸ γένος
αὐτῶν ἐστιν, ὡς καὶ ὁ ποιητής ἐστιν· αὕτη σχεδὸν ἡ πρώτη τῶν
ἀνωδύνων ὀνομαζομένων ἀντιδότων ἔνδοξος ἐγένετο. κατ᾽ αὐτὴν δὲ τὰ
μὲν προσθέντες αὐτῇ, τὰ δὲ ἀφαιροῦντες ἢ ταῖς συμμετρίαις
ὑπαλλάττοντες, ἐποίησαν κυρίων ἀνωδύνων ἀντιδότων ἀριθμὸν, ἃς καὶ
κωλικὰς προσαγορεύουσιν, παρονομάζοντες ἀπὸ τοῦ μεγίστας ὀδύνας
ἔχοντος πάθους. ἐγὼ δὲ πρώτους μὲν ἐρῶ τοὺς γενικοὺς τρόπους τῆς
συνθέσεως αὐτῶν, εἶτα, ὡς εἴωθα, τὴν εὐπορίαν τῶν κατὰ μέρος ὑλῶν
ὑπογράψω. τὸ μὲν οὖν ὄπιον ἰσχυρότατόν ἐστι τῶν ναρκούντων τὴν
αἴσθησιν, ὕπνον τε καρώδη φερόντων. ἐργάζεται δὲ ταῦτα καὶ μόνον
ἐψήματι δευθὲν, εἶτα ἀναληφθὲν διὰ κροκύδος καὶ εἰς ἔδραν
ἐντιθέμενον, ἐπιχριόμενόν τε τῷ μετώπῳ καὶ τοῖς μυκτῆρσιν
ἐγχριόμενον. ἐὰν δὲ μετὰ ἑτέρου τινὸς τῶν πραϋνόντων τὴν δύναμιν
13.274 αὐτοῦ μιχθῇ, μετριώτερον ἐργάζεται ταῦτα. χρὴ δὲ εἶναι τὰ μιγνύμενα
τῶν ἤτοι πέττειν ἢ πραῦνειν δυναμένων ὀδυνηρὰν διάθεσιν ἢ τοὺς
ἐργαζομένους αὐτὴν χυμοὺς διαφορεῖν ἢ τέμνειν τε καὶ λεπτύνειν ἢ κατὰ

τὴν ὕλην οὐσίαν ἀλλοιοῦν. οὐ μὴν οὐδὲ ἀγνοεῖν ὑμᾶς οἶμαι τὸν ἄριστον εἶναι σκοπὸν τῆς συνθέσεως, ὅταν τριῶν τις στοχάζηται, τοῦ τε ναρκῶσαι τὴν αἴσθησιν καὶ τοῦ μηδὲν ἐφ' ὕστερον ἐκ τούτου διαμεῖναι παρὰ τῷ μορίῳ βλάβος, ἔτι τε τοῦ μέγιστον ὠφεληθῆναι τὴν διάθεσιν. εἰς ταῦτα οὖν ἀποβλέπων μοι δοκεῖ καὶ ὁ Φίλων συνθεῖναι τὸ προκείμενον ἐν τῷ λόγῳ φάρμακον, ἐκ μὲν τῆς τοῦ ὑοσκυάμου καὶ τῆς τοῦ ὀπίου μίξεως, ὕπνον τε καρώδη καὶ τὴν νάρκην τῆς αἰσθητικῆς δυνάμεως ἐργάσασθαι βουλόμενος· ὅπως δὲ ἀναδοθείη τε θᾶττον καὶ διεξέλθοι τὸ βάθος ὅλων τῶν πασχόντων σωμάτων τὰ θερμαίνοντα, πύρεθρόν τε καὶ εὐφόρβιον καὶ πέπερι μίξας διαφορεῖν δυνάμενα τοὺς βλάπτοντας χυμοὺς καὶ διαρρύπτειν τοὺς γλίσχρους καὶ τέμνειν τοὺς παχεῖς καὶ τὰ φυσώδη
13.275 πνεύματα λεπτύνειν καὶ κενοῦν. ἔστι δ' οὐκ ὀλίγον πασῶν τῶν ψυχρῶν διαθέσεων ἐν τῇ νάρδῳ πεπτικόν. οὐ μὴν τήν γε Κρητικὴν νάρδον ἐμβάλλειν χρὴ, οὐδ' ὅλως τὴν παρ' ἡμῖν γεννωμένην, ἣν ὀρείαν τε καὶ ναρδίτην βοτάνην ὀνομάζουσι μᾶλλον ἢ νάρδον. ἔστι μὲν οὖν ἡ Κελτικὴ νάρδος ἀγαθὸν φάρμακον εἰς ὅσα περ ἂν καὶ ἡ Ἰνδικὴ, λείπεται δὲ αὐτῆς πάμπολυ, καθάπερ γε καὶ ταύτης ἡ ὄρειος. ὥσπερ καὶ τῶν ἀρωματικῶν ὀνομαζομένων φαρμάκων τὴν νάρδον μόνην ἐνέβαλεν ὁ Φίλων, οὕτως οἱ κατ' αὐτὸν ἄλλος ἄλλο προσέθεσαν, ἔνιοι δὲ καὶ πλείω. καὶ προστιθέμενα δέ ἐστι σχοίνου ἄνθος καὶ κασσία, κιννάμωμόν τε καὶ ἄμωμον καὶ κόστος. ὥσπερ δὲ αὖ πάλιν τὸν κρόκον ἐνέβαλε πεπτικὸν χυμῶν ἀπέπτων καὶ διαθέσεων φαρμακωδῶν, οὕτως ἄλλοι σμύρναν τε καὶ καστόριον ἔμιξαν. οἱ πλεῖστοι δὲ αὐτῶν καλῶς ποιοῦντες καὶ ταυτὶ τὰ συνήθη σπέρματα, περὶ ὧν εἴρηται καὶ πρόσθεν ἐν τοῖς διὰ τῶν σπερμάτων, ὡς παραμυθήσασθαι τὴν ἀηδίαν τῶν πικρῶν φαρμάκων, εἰς
13.276 ἀνάδοσίν τε καὶ οὕρησιν προτρέψαι τὸ σύμπαν φάρμακον. εἰ δέ τι καὶ λεπτῦναι δέοι πάχος χυμῶν, καὶ τοῦτο ἐργαζόμενα, λέγω δὲ καὶ σελίνου σπέρμα καὶ κυμίνου καὶ ἀνίσου καὶ δαύκου καὶ πετροσελίνου καὶ ὅσα τοιαῦτα. προσθήσω τοιγαροῦν ἤδη καὶ τὸ πλῆθος τῶν κατὰ μέρος ὑλῶν τοῖς πρὸ ἐμοῦ πεπειραμένων.

Περὶ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων κωλικῶν. Πρώτη μὲν αὐτῶν γέγραπται κατὰ λέξιν οὕτως, κωλικὴ Κασσίου. ℞ ἀνίσου ʃ στ′. σελίνου σπέρματος ʃ ιβ′. νάρδου ʃ δ′. οἱ δὲ ʃ στ′. καστορίου ʃ γ′. πετροσελίνου ʃ

δ′. οἱ δὲ ‹ γ′. πεπέρεως λευκοῦ ‹ ε′. καὶ μακροῦ ‹ ε′. σμύρνης ‹ στ′. σχοίνου ‹ γ′. ὀποῦ μήκωνος ‹ στ′. κρόκου ‹ γ′. ἀναλάμβανε μέλιτι ἑφθῷ, τινὲς καὶ κινναμώμου ‹ α′. ἢ κασσίας ‹ β′. ἡ τελεία δόσις, καρύου βασιλικοῦ μικροῦ σὺν ὕδατος θερμοῦ κυάθοις τρισὶ, τὸ δὲ ἐλάχιστον, Ποντικοῦ μικροῦ. κωλικὴ δευτέρα τῶν ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων ἐστὶν ἥδε, ἄλλως. ἡ Κασσίου ὡς Κρίσπος. ποιεῖ δὲ καὶ ἐπιτιθεμένη ἔξωθεν. ⁋ ἀνίσου ‹ ιβ′. σελίνου σπέρματος ‹ κδ′. νάρδου Ἰνδικῆς ἴσον,
13.277 καστορίου ‹ στ′. πετροσελίνου σπέρματος ‹ ιστ′. σμύρνης ‹ ιβ′. πεπέρεως λευκοῦ ‹ ιβ′. καὶ μακροῦ ‹ ι′. σχοίνου ‹ στ′. ὀπίου, κρόκου, κασσίας ἀνὰ ‹ ιβ′. κόστου, ἀκόρου ἀνὰ ‹ στ′. μέλιτι ἑφθῷ ἀναλάμβανε, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος μεθ᾽ ὕδατος κυάθων τριῶν. αὗται μὲν οὖν αἱ προγεγραμμέναι δύο διὰ φαρμάκων συνετέθησαν, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν εἶπον. ἡ δ᾽ ἐφεξῆς ᾗ κεχρῆσθαί φησιν αὐτὸς, ἔχει τινὰ καὶ ἄλλα παρὰ τὰ πρόσθεν, ὁμογενῆ μὲν τῷ τε ὀπίῳ καὶ τῷ τοῦ ὑοσκυάμου σπέρματι, τόν τε τοῦ μανδραγόρου χυλὸν τῶν μήλων, ἤτοι τὸν τῆς ῥίζης αὐτοῦ καὶ τῶν τοῦ κωνείου. οὕτω δὲ καὶ τὸ Ποντικὸν φοῦ, τὸ μέν τι παραπλήσιον ἔχον τῇ νάρδῳ, τὸ δέ τι τῷ πετροσελίνῳ καὶ τοῖς οὐρητικοῖς σπέρμασι, τὸ δὲ τῆς ἀγρίας κράμβης σπέρμα τῶν λεπτυντικωτάτων τε καὶ ξηραίνειν καὶ διαφορεῖν ἱκανῶς δυναμένων. ἐκ δὲ τῶν οὐρητικῶν ἐστι καὶ τὸ μῆον καὶ τὸ ἄσαρον. ἡ δὲ Ἰλλυρὶς, ἣν οὐδὲ ὠνόμασεν Ἰλλυρικὴν ἶριν, πεπτικόν ἐστι καὶ λεπτυντικὸν φάρμακον. ἡ δὲ στοιχὰς ἄσηπτόν τε
13.278 καὶ λεπτυντικὸν, αὐτὸ δὲ τὸ φάρμακον οὕτως ὑπὸ τοῦ Ἀνδρομάχου γέγραπται. κωλικὴ Τουλλίου ᾗ χρῶμαι. ⁋ μανδραγόρας χυλοῦ τῶν μήλων ‹ η′. ἢ τῆς ῥίζης τοῦ χυλοῦ ‹ ι′. φοῦ Ποντικοῦ ‹ η′. κράμβης ἀγρίας σπέρματος ‹ η′. κωνείου χυλοῦ ‹ ιστ′. κόστου, πεπέρεως λευκοῦ ἢ μακροῦ, σμύρνης, ὀπίου ἀνὰ ‹ η′. ὀποπάνακος ‹ στ′. στοιχάδος, δαύκου σπέρματος, μήου, ἀσάρου ἀνὰ ‹ ιβ′. κινναμώμου, Ἰλλυρίδος, ἀκόρου ἀνὰ ‹ η′. ἐφεξῆς τῶν προγεγραμμένων κωλικὴ παρὰ Ἀβασκάντου, ἣν εὗρον παρ᾽ ἐμοὶ σύμφωνον. ⁋ ἀνίσου ‹ ι′. σεσέλεως σπέρματος ‹ κ′. πετροσελίνου, νάρδου Ἰνδικῆς, πεπέρεως λευκοῦ καὶ μακροῦ ἀνὰ ‹ γ′. καὶ τετρώβολον, ὀπίου ‹ ι′. σμύρνης ‹ ι′. κυμίνου Αἰθιοπικοῦ, καστορίου ἀνὰ ‹ ε′. σχοίνου, κρόκου ἀνὰ ‹ ε′. μέλιτι ἑφθῷ σκεύαζε.

Κωλικὴ θαυμαστὴ ᾗ χρῶμαι καὶ πρὸς τοὺς εἰλεώδεις καὶ οἷς κόπρος ἀνεμεῖται ἐν ταῖς μεγίσταις ἀλγηδόσιν, διδομένη ἡλίκον κύαμος ἐν κυάθοις τρισὶν ἢ τέσσαρσιν ὕδατος ψυχροῦ. ⁊ Πεπέρεως λευκοῦ, ὑοσκυάμου σπέρματος ἀνὰ ʃ μ′. ὀπίου ʃ στ′. κρόκου ʃ ι′. ναρδοστάχυος,
13.279 εὐφορβίου, πυρέθρου ἀνὰ ʃ β′. μέλιτι ἐφθῷ ἀναλάμβανε. ἄλλη ἀδιάπτωτος καὶ πρὸς πᾶσαν ἐμπνευμάτωσιν. ⁊ σίνωνος, ὑοσκυάμου σπέρματος, πεπέρεως λευκοῦ ἀνὰ ʃ μ′. ὀποῦ μήκωνος ʃ κ′. κρόκου ʃ στ′. ὀποβαλσάμου ʃ γ′. μέλιτι ἐφθῷ. κωλικὴ Τερεντίου Οὐάλεντος. ⁊ σίνωνος, πεπέρεως λευκοῦ, ὑοσκυάμου σπέρματος ἀνὰ ʃ μ′. ὀποῦ μήκωνος ʃ κ′. κρόκου ʃ η′. οἱ δὲ ʃ στ′. μανδραγόρου φλοιοῦ ῥίζης ʃ γ′. μέλιτος τὸ ἱκανὸν, τινὲς ὀποβαλσάμου ʃ γ′. κωλικὴ Ἀπολλωνίου. ⁊ νάρδου ʃ β′. καστορίου, μαράθρου, μανδραγόρας χυλοῦ, κόστου ἀνὰ ʃ α′. ἀσάρου, στάχυος ἀνὰ ʃ γ′. ὀποπάνακος ʃ α′. δαύκου Κρητικοῦ ʃ γ′. κινναμώμου ʃ ε′. πεπέρεως λευκοῦ καὶ μακροῦ, ἴρεως, σμύρνης ἀνὰ ʃ β′. Λημνίας σφραγῖδος ʃ ι′. ἀψινθίου ʃ β′. μέλιτος ἡ δόσις ʃ α′. σὺν ὕδατι. κωλικὴ ὡς Νικόστρατος, ἰσόθεος καλουμένη, ἠγορασμένη ταλάντων δύο, ποιοῦσα πρὸς στομαχικοὺς, ὀφθαλμιῶντας, περιοδυνῶντας, ὑστερικοὺς πόνους, δι᾽ ὑδρομέλιτος, πηγάνου ἐναφεψημένου. ⁊ κρόκου ʃ α′ ′′.
13.280 νάρδου ʃ β′. σμύρνης ʃ η′. κόστου, πεπέρεως λευκοῦ καὶ μακροῦ, χαλβάνης ἀνὰ ʃ α′. ὀποβαλσάμου ʃ δ′. κινναμώμου, μανδραγόρου χυλοῦ, καστορίου ἀνὰ ʃ β′. δαύκου σπέρματος ʃ δ′ ′′. σαγαπηνοῦ ʃ γ′. κασσίας ʃ δ′. μέλιτι Ἀττικῷ. κωλικὴ, ὡς Σκριβώνιος. ⁊ κέρατος ἐλαφείου ἀπαλοῦ κεκαυμένου τῆς σποδοῦ ἡμίναν, πεπέρεως λευκοῦ, σμύρνης ἀνὰ ʃ β′. λεάνας δίδου κοχλιάριον ἓν, λεάνας κοχλίαν ὠμὸν ἕνα, σὺν οἴνου κυάθοις δυσὶ καὶ ὕδατι θερμῷ. κωλικὴ ᾗ συνεχῶς ἐχρήσατο, τελέως ἀπαλλάττουσα καὶ ἀνασκευάζουσα. ⁊ ζιγγιβέρεως ʃ γ′. ἰτέας φλοιοῦ ʃ γ′. πηγάνου κλώνια γ′. ἢ τέσσαρα, φοινικοβαλάνων ʃ γ′. ὕδατος κυάθους γ′. βαλὼν ἐς πολτάριον καινὸν, ἕψε ἕως λειφθῇ τὸ τρίτον, δίδου πίνειν μετὰ τὸν παροξυσμὸν ἐπὶ τρεῖς ἡμέρας καὶ διαλείπων τὸ αὐτὸ ποίει, ἐπὶ ἡμέρας πλείονας ποιῶν τὸ φάρμακον. κωλικὴ Τουλλίου καλὴ, ᾗ καὶ αὐτῇ χρῶμαι. ⁊ κράμβης ἀγρίας σπέρματος, φοῦ Ποντικοῦ ἀνὰ γο στ′. πεπέρεως λευκοῦ καὶ μακροῦ, δαύκου σπέρματος, μήου ἀνὰ ʃ θ′. καστορίου, κόστου, ὀπίου, μανδραγόρου φλοιοῦ, νάρδου Ἰνδικῆς,

13.281 ἀσάρου, Ἰλλυρίδος, ἀκόρου, σμύρνης ἀνὰ ⸉ στ΄. ὀποπάνακος ⸉ δ΄. κωνείου σπέρματος ⸉ β΄. στοιχάδος ⸉ θ΄. κινναμώμου ⸉ α΄. κασσίας δαφνίτιδος ⸉ ιη΄. μέλιτι ἑφθῷ, ἡ δόσις μέγεθος κυάμου Αἰγυπτίου. κωλικὴ, ἣν ἐθαύμαζεν Ἀρίστων, ὡς Διόφαντος ὁ Λύκιος. ⸗ κενταυρείου χυλοῦ, καστορίου, σκίλλης ὀπτῆς, πεπέρεως λευκοῦ καὶ μακροῦ, σμύρνης, πηγάνου ἡμέρου, ὑσσώπου, ἀβροτόνου, ἴρεως Ἰλλυρικῆς ἀνὰ ⸉ β΄. κρόκου, ἀμμωνιακοῦ θυμιάματος, ἀκόρου ῥίζης, φοῦ Ποντικοῦ, ζιγγιβέρεως, ἐλλεβόρου μέλανος ἀνὰ ⸉ α΄. ἀναλάμβανε ὀξυμέλιτι, ἡ δόσις ⸉ α΄. μετ᾽ ὀξυμέλιτος. κωλικὴ ὡς Πούπλιος ἐν Ποτιολίῳ καὶ Ἀπολλωνίῳ. ⸗ πολίου ⸉ στ΄. σκορδίου ⸉ ιβ΄. γεντιανῆς ⸉ ε΄. πηγάνου ἀγρίου σπέρματος ⸉ δ΄. ὀποῦ Κυρηναϊκοῦ ⸉ γ΄. μίλτου Λημνίας ⸉ ε΄. σμύρνης ⸉ ζ΄. ὀποβαλσάμου ⸉ η΄. πεπέρεως. λευκοῦ ⸉ β΄ ΄΄. κάγχρυος ⸉ δ΄. περιστερεῶνος βοτάνης ⸉ β΄. πενταφύλλου ⸉ ε΄. μέλιτι Ἀττικῷ, δίδου καρύου τὸ μέγεθος. τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα πρὸς τὰ κωλικὰ πάθη. καταπαστὸν πρὸς τὰς τοῦ κώλου ἐμπνευματώσεις, Ἀντωνίου
13.282 φαρμακοπώλου. τούτῳ χρώμενος εὐημέρει. ⸗ χρυσοβαλάνου ⸉ β΄. σεσέλεως, ἀστραγάλου ἀνὰ γο β΄. Ἰλλυρικῆς, τραγοριγάνου ἀνὰ γο α΄. ταῦτα ὁμοῦ κόψας καὶ σήσας δίδου κοχλιάριον ἓν ἢ ἔλασσον ἢ πλέον μετὰ ὕδατος θερμοῦ, κυάθων τεσσάρων πρὸ τροφῆς. ἄλλο. ὀρνίθων τὰ ἐντὸς ἅπαντα ἐξελὼν καὶ βαλὼν εἰς ἄγγος κεραμοῦν ὄπτα καὶ λεάνας ἀπόθου. ἐν δὲ τῇ χρήσει δίδου κοχλιάριον α΄ ΄΄. καὶ δαύκου Κρητικοῦ κεκομμένου καὶ σεσησμένου τὸ ἴσον καὶ μελικράτου θερμοῦ κυάθους γ΄. πρὸς τὰς τοῦ κώλου ἐμπνευματώσεις, Χαρικλέους. ⸗ κυμίνου Αἰθιοπικοῦ ⸉ στ΄. σελίνου σπέρματος ⸉ ε΄. δαύκου Κρητικοῦ σπέρματος ⸉ β΄. πεπέρεως λευκοῦ ⸉ α΄. κόψας καὶ σήσας ἀπόθου, ἡ δόσις κοχλιάρια β΄. μεθ᾽ ὑδρομέλιτος κυάθων γ΄. ἄλλο. ⸗ πηγάνου ἀγρίου ξηροῦ σπέρματος, σεσέλεως Γαλλικοῦ ἀνὰ ⸉ μ΄. πετροσελίνου ⸉ δ΄. σίνωνος Συριακοῦ ⸉ δ΄. πεπέρεως λευκοῦ ⸉ β΄. κόψας καὶ σήσας δίδου καθὰ προείρηται.

Ἐκλεικτὸν κωλικοῖς τὸ νεκτάριον. ποιεῖ καὶ πλευριτικοῖς καὶ δυσπνοϊκοῖς, κατάγει γυναιξὶν ἔμμηνα, ἔστι δὲ καὶ πεπτικόν. ⸗ Κυμίνου
13.283 Σπανοῦ γο α΄. πεπέρεως λευκοῦ, ζιγγιβέρεως, ἑκάστου τὸ ἴσον, οἴνου γλυκέος ἢ Σκυβελίτου ἢ προτρόπου ξε. γ΄. οἴνου Φαλερίνου ξε. α΄. μέλιτος Ἀττικοῦ λίτραν α΄. τὰ ξηρὰ κόπτεται καὶ σήθεται παχυτέρῳ κοσκίνῳ, εἶτα

μετ’ οἴνου ἕψεται ἔστ’ ἂν τὸ τρίτον λειφθῇ, ἐπιβάλλεται ὁ γλυκὺς καὶ πάλιν ἕψεται. κινεῖν δὲ δεῖ κλωσὶ πηγάνου προσδεδεμένοις ῥάβδῳ ἰτέας καὶ κατειλημμένοις φλοιῷ ἰτέας. ἔχειν δὲ δεῖ καὶ δεύτερον ῥαβδίον καὶ πηγάνου κλῶνας νεαρωτέρους, ὅπως τῶν πρώτων ξηρανθέντων, κινεῖς νεωτέροις. ὅταν δὲ τὸ ὑγρὸν ἅπαξ καὶ δὶς ἀναβράσῃ, ἐπίβαλλε τὸ μέλι καὶ πάλιν ἕψε, ἔπειτα σακκίσας τὸ ὑγρὸν ἀπόθου. ἐν δὲ τῇ χρήσει δίδου μύστρα τρία πρὸ τροφῆς καὶ μετὰ τροφήν. ἄλλο. ⁋ μαράθρου χυλοῦ ξε. δ′. μέλιτος Ἀττικοῦ ξε. β′. κρόκου ‹ δ′. τὸν κρόκον βαλὼν εἰς ὀθόνιον καθαρὸν ἀπόδησον, τὸν δὲ χυλὸν καὶ τὸ μέλι μίξας ἕψε βαλὼν εἰς ἄγγος κεραμεοῦν καὶ κινῶν τῷ ἀποδέσμῳ τοῦ κρόκου. ὅταν δὲ συστραφῇ, ὥστε ἀρτηριακῆς ἔχειν τὸ πάχος, τὸ μὲν κρόκον ἐκθλίψας ῥῖψον, τὸ δὲ φάρμακον ἀπόθου, ἐν δὲ τῇ χρήσει δίδου μύστρον ἓν ἢ δύο πρὸ τροφῆς.

13.284 Ἄλλη Σκριβωνίου Λάργου τὸ διὰ τῆς ἰτέας, ἀπαλλάττει τῆς ὅλης διαθέσεως. ⁋ Ἰτέας φλοιοῦ ‹ δ′. ζιγγιβέρεως ξηροῦ ‹ γ′. φοινίκων καρύων ἀριθμῷ στ′. ὕδατος ξε. α′ ′′. ἕψε πάντα κινῶν κλωσὶ πηγάνου, καὶ ὅταν τοῦ ὑγροῦ τὸ γ′. ἀπολειφθῇ, ἔκθλιψον τὸ ὑγρὸν καὶ δίδου κυάθους β′. καθ’ ἑκάστην ἡμέραν, καὶ τοῦτο δεῖ ποιεῖν ἐπὶ τρεῖς ἡμέρας, καὶ πάλιν διὰ λ′. ἡμερῶν τοῦτο ποίει, ὥστε εἶναι τοῦ ἐνιαυτοῦ πόσεις λστ′. τὸ φάρμακον ἐπ’ ἐνιαυτὸν πίνεται. ἐν ἄλλαις γραφαῖς ἔχει οὕτω. ⁋ ἰτέας χλωρᾶς τοῦ φλοιοῦ ‹ ε′. ζιγγιβέρεως ξηροῦ ‹ δ′. πεπέρεως λευκοῦ ‹ δ′. φοινίκων πατητῶν μεγίστων ἀριθμῷ β′ ἢ γ′. πηγάνου χλωροῦ κλῶνας ε′. ὕδατος ὀμβρίου ξε. γ′. ἕψε εἰς τὸ γ′. καὶ δίδου καθὰ προείρηται.

Πακκίου Ἀντιόχου, τῆς ὅλης ἀπαλλάττει διαθέσεως. Κέρατος ἐλαφείου νεοβλάστου, μαλακωτάτου κεκαυμένου ὥστε λευκὸν εἶναι, κοχλιάρια γ′. μείζονα τῷ μεγέθει, πεπέρεως λευκοῦ κόκκοι ι′ ἢ θ′. σμύρνης ὀλίγον ὀσμῆς χάριν, ἅπαντα τρίβεται, κοχλίας Λιβυκὸς ποικίλος τῷ χρώματι, σὺν
13.285 τῷ ὀστράκῳ καὶ λεαίνεται οἴνου ἐπιβαλλομένου Φαλερίνου ἀδιυλίστου, τὸ δὲ πλῆθος ἔστω κύαθοι γ′. ἅπαντα μίξαντες εἰς ἀγγεῖον κεραμοῦν, θερμαίνομεν ἐπ’ ἀνθρακιᾶς, κινοῦντες ἐπιμελῶς, ἵνα μηδὲν ὑποκαθίσῃ τοῦ φαρμάκου. ὅταν δὲ θερμανθῇ, δίδου πίνειν ἐν αὐτοῖς τοῖς παροξυσμοῖς καὶ ταῖς ἑξῆς δυσὶν ἡμέραις πίνειν, καὶ χρὴ πρὸ μιᾶς ἡμέρας

ἀνατιθέντας καὶ ταῖς ἄλλαις δυσὶν, ἀρίστῳ μόνῳ χρησαμένους, εὐδιοίκητον τροφήν.

Ἡ τοῦ Σίγωνος κωλικὴ, ταύτῃ ἐχρήσατο Οὐάλης. ποιεῖ ἐν ταῖς ἄκραις περιωδυνίαις, διδομένη καρύου Ποντικοῦ τὸ μέγεθος, δι᾽ ὕδατος θερμοῦ κυάθων γ′. καὶ παραχρῆμα μειοῖ τοὺς πόνους, καὶ μάλιστα εἰ κνησμὸς δι᾽ ὅλου τοῦ σώματος γένοιτο. ποιεῖ καὶ τοῖς χρονίοις σπληνικοῖς καὶ πρὸς τὰς εἰλεώδεις διαθέσεις, ποιεῖ ἡπατικοῖς, ποιεῖ πρὸς τοὺς κατὰ περίοδον πυρετοὺς καὶ τὰς ὑστερικῶς πνιγομένας καὶ τὰς περὶ κύστιν διαθέσεις. ἔστι δὲ καὶ ἀρτηριακὴ ἀγαθή. ⳋ Σίνωνος Συριακοῦ ἢ Σπανοῦ ⸂ ξ′. πεπέρεως λευκοῦ ⸂ μ′. ὑοσκυάμου λευκοῦ σπέρματος ⸂ μ′. ὀπίου,
13.286 μανδραγόρου φλοιοῦ ἀνὰ ⸂ ι′. κρόκου ⸂ στ′. μέλιτος ἐφθοῦ εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ, πόσον χρὴ διδόναι μεμήνυται. ἐν ἄλλαις γραφαῖς ἔχει οὕτω. ⳋ σίνωνος Σπανοῦ ⸂ ξ′. πεπέρεως λευκοῦ, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ ⸂ μ′. κέρατος ἐλαφείου κεκαυμένου, ὀπίου ἀνὰ ⸂ κ′. μανδραγόρου φλοιοῦ ⸂ ι′. κρόκου ⸂ στ′. μέλιτος αὔταρκες. ἡ τοῦ Λίγγωνος κωλικὴ διὰ ψυχροῦ διδομένη παραχρῆμα λύει τοὺς πόνους. ⳋ ὑοσκυάμου λευκοῦ σπέρματος ⸂ κ′. ὀπίου, δαύκου Κρητικοῦ σπέρματος ἀνὰ ⸂ ι′. πετροσελίνου ⸂ στ′. κρόκου, ναρδοστάχυος, πυρέθρου ἀνὰ ⸂ δ′. εὐφορβίου, ὀποβαλσάμου, κινναμώμου ἀνὰ ⸂ β′. ἀναλάμβανε μέλιτι ἐφθῷ καὶ δίδου κυάμου Αἰγυπτίου τὸ μέγεθος μεθ᾽ ὕδατος χλιαροῦ ἢ ψυχροῦ κυάθων γ′. ἐν τοῖς παροξυσμοῖς. ἀνώδυνος κωλικὴ ᾗ ἐχρήσατο Κάσσιος. ποιεῖ δὲ καὶ πρὸς τὰς τῶν ἐντὸς διαθέσεις τὸ φάρμακον σφόδρα καλόν. ⳋ ἀνίσου, νάρδου Συριακῆς, σμύρνης ἀνὰ ⸂ η′. πεπέρεως λευκοῦ καὶ μακροῦ ἀνὰ ⸂ ιβ′. σεσέλεως σπέρματος ⸂ στ′. ὀπίου τὸ ἴσον, κρόκου,
13.287 καστορίου, πετροσελίνου, σχοίνου ἄνθους ἀνὰ ⸂ δ′. μέλιτος Ἀττικοῦ ἀφεψημένου ὅσον ἐξαρκεῖ, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος. ἡ Λευκίου ἀνώδυνος κωλικὴ παραχρῆμα λύει τοὺς πόνους, ἐπιγράφεται δὲ Σικελική. ⳋ σμύρνης, ὑοσκυάμου χυλοῦ, ὀπίου ἀνὰ ⸂ η′. μανδραγόρου ῥίζης, πεπέρεως λευκοῦ, κρόκου, λιβάνου ἀνὰ ⸂ ι′. ἀναλάμβανε μέλιτι καὶ δίδου Αἰγυπτίας κυάμου τὸ μέγεθος, δι᾽ ὕδατος θερμοῦ κυάθων τριῶν εἰς νύκτα.

Εὐσχήμου τοῦ σπάδοντος ἐπιγραφομένη ἀνώδυνος κωλικὴ, πίνεται δὲ ἐπὶ ἡμέρας λ′. ⁋ Κράμβης ἀγρίας σπέρματος, φοῦ, κινναμώμου, ἴρεως Ἰλλυρικῆς, ἀκόρου, ἀσάρου, ὀποπάνακος, σμύρνης, νάρδου Ἰνδικῆς, ὀπίου, κόστου, μανδραγόρου χυλοῦ, καστορίου ἀνὰ ≼ στ′. τῶν τριῶν πεπέρεων, μήου, δαύκου Κρητικοῦ σπέρματος ἐπτισμένου ἀνὰ ≼ ιβ′. στοιχάδος, κωνείου σπέρματος ἀνὰ ≼ η′. ἀναλάμβανε μέλιτι ἐφθῷ καὶ δίδου κυάμου Αἰγυπτίου τὸ μέγεθος, ἀπυρέτοις μετ᾽ οἰνομέλιτος κεκραμένου κυάθων δ′. πυρέττουσι μεθ᾽ ὑδρομέλιτος. ταύτῃ καὶ ἐνέματι ἐχρήσατο λαμβάνων τοῦ φαρμάκου καρύου Ποντικοῦ τὸ μέγεθος καὶ
13.288 τήλεως ἀφεψήματι κυάθους δ′. ἐλαίου ἐναφεψημένου, πηγάνου κυάθους δ′. πρὸς τὰς αὐτὰς διαθέσεις ἡ τοῦ Βρενίτου. ⁋ κρόκου, ὀπίου, ὀποπάνακος, σμύρνης, ἴρεως, ἀκόρου, μανδραγόρου, ἀσάρου, κόστου, νάρδου Ἰνδικῆς, δαύκου Κρητικοῦ, μήου ἀνὰ ≼ στ′. πεπέρεως λευκοῦ καὶ μακροῦ, γεντιανῆς, στοιχάδος, κασσίας, φοῦ Ποντικοῦ ἀνὰ ≼ η′. μέλιτι ἀναλάμβανε.

Περὶ δυσεντερικῶν. Περὶ τῶν δυσεντερικῶν ὅσα ἐγνῶσθαι δεῖ καθόλου, λέλεκται μὲν ἤδη δηλονότι κἀν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, εἴρηται δὲ καὶ νῦν ἐν τῷ περὶ τῶν ἡπατικῶν λόγῳ. κατάλοιπον οὖν ἐστι περὶ τῶν ὄντως δυσεντερικῶν διελθεῖν, ἐφ᾽ ὧν οὔτε τὸ ἦπαρ πέπονθεν, οὔτε ἄλλη τις διάθεσις παρὰ τὴν τῶν ἐντέρων ἕλκωσιν, ἤτοι ψιλὴν ἢ μετὰ σηπεδόνος τινὸς γενομένην, ἣν ὀνομάζουσιν οἱ ἰατροὶ συνήθως νομήν. ὅσα τοίνυν καὶ πρὸς τὰς τοιαύτας διαθέσεις εἰσὶ χρήσιμα φάρμακα, πεῖραν ἤδη δεδωκότα συχνὴν, ταῦτ᾽ ἐξ ἀρχῆς ὑπογραφήσεται.

Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα πρὸς δυσεντερίαν. Πότημα πρὸς
13.289 δυσεντερικοὺς καὶ αἱμοπτυϊκούς. ⁋ ῥόδων ἄνθους, ὀπίου, ἀκακίας, κόμμεως ἀνὰ ≼ γ′. βαλαυστίου ἴσον, ὑποκυστίδος χυλοῦ ἴσον, κηκίδων ≼ β′. ἀρνογλώσσου σπέρματος ἴσον καὶ τοῦ χυλοῦ ἴσον, λυκίου Ἰνδικοῦ ≼ α′. ῥόδων χυλοῦ ≼ α′. ποίει τροχίσκους ἀνὰ ≼ α′. χρῶ ποικίλως. πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς ἡ διὰ τῶν ὀπωρῶν. ῥοιαὶ ὁλόκληροι κ′. μῆλα κυδώνια κ′. ὀρόβων ξέστης α′. προύμνων ἀγρίων ξέσται β′. οὔων Ἐφεσινῶν ξέσται β′. ῥοῦ Συριακοῦ ξέσται γ′. ἄπιοι Τερεντιανοὶ κ′. μῆλα

ἐν ἄλλῳ κυδώνια κεστιανὰ λ′. κεράτια μ′. μύρτων μελάνων ξέσται γ′. γλεύκους Ἀμιναίου ἀφεψημένου ἐς τὸ γ′. ξέσται μη′. ἔψε ὁμοῦ ἕως σχῇ μέλιτος πάχος, ἀπόθου ἐν ὀστρακίνῳ.

Ἄλλη ἡ διὰ τῶν ὀπωρῶν πρὸς τὰ αὐτὰ, στόμαχον ἀνατετραμμένον ἀναλαμβάνει καὶ ἔξωθεν ἐπιτίθεται. Ῥοιαὶ ι . κυδώνια κ . μῆλα ὀρβικουλάτα ιε . οὔων ξέσται β . μεσπίλων ξέστης α . βαλάνων ξέστης α . ῥοῦ Συριακοῦ ξέστης α . βάτου δεσμίδιον χειροπληθὲς, μύρτων μελάνων ξέστης α . φοίνικας πατητοὺς λ . γιγάρτων ξηρῶν ξέστου . κοκκυμήλων ἀγρίων ξέστης α . κεράτια μεγάλα ι . οἰνάνθης γο
13.290 στ . κράνων ξέστης α′. μηλοκίτρια ε′. γλυκέος Κρητικοῦ ξε. ιστ′. ἔψε ὁμοῦ, ἀποτίθεσο ἐν ὑέλῳ, χρῶ ὡς τῇ προτέρᾳ.

Πρὸς δυσεντερικοὺς ᾗ χρῶμαι. Ⳋ Κηκίδος, ἐρείκης καρποῦ, ὀπίου ἀνὰ ≤ δ′. μεθ’ ὕδατος ἀνάπλαττε τροχίσκους δυοβολιαίους, δίδου ἐν ὕδατι ἢ οἴνῳ. πρὸς δυσεντερικοὺς τὸ Κλειδίον. Ⳋ νάρδου, κρόκου ἀνὰ ≤ η′. ἀλόης ≤ δ′. ἐγὼ ≤ β′. λιβάνου ≤ β′. ἀκακίας ≤ δ′. σμύρνης ≤ δ′. ὑποκυστίδος χυλοῦ ≤ δ′. οἱ δὲ ≤ στ′. ῥόδων ξηρῶν ≤ δ′. λυκίου Ἰνδικοῦ ≤ δ′. τραγακάνθης ≤ δ′. ὀπίου ≤ δ′. οἱ δὲ ≤ α′. ὀβολοὺς δύο, πεπέρεως ≤ β′. οἱ δὲ καὶ ἴρεως ≤ β′. ὕδωρ. τινὲς καὶ κινναμώμου ≤ β′ ′′. κηκίδος ≤ β′. ἀνάπλαττε τροχίσκους ἐν ὕδατι δυοβολιαίους, δίδου σὺν μυρτίτῃ. πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς ὁ τοῦ Βηριτίου. Ⳋ νάρδου, κρόκου ἀνὰ ≤ β′. σμύρνης, ὑποκυστίδος χυλοῦ, ἀλόης, ὀπίου, τραγακάνθης, λυκίου Ἰνδικοῦ, κηκίδος, ἀνίσου, ἀκακίας, πεπέρεως, ῥήου Ποντικοῦ ἀνὰ ≤ α′. τὴν τραγάκανθαν οἴνῳ βρέχε καὶ τὰ λοιπὰ λεῖα συγκατάμισγε καὶ
13.291 ἀνάπλασσε τροχίσκους ἀνὰ ≤ α′. καὶ δίδου μετ’ οἴνου. πρὸς δυσεντερικοὺς τὸ Κλειδίον. Ⳋ ἀκακίας ≤ κε′. μηκωνείου ≤ κβ′. ὑοσκυάμου σπέρματος ≤ νστ′. μύρτων κεκομμένων ≤ ρξ′. ῥοῦ Συριακοῦ ≤ ο′. καὶ τοῦ χυλοῦ ≤ β′ ′′. λιβάνου ≤ οε′. πάντα φρύξας λέαινε καὶ ἀναλάμβανε οἴνῳ μέλανι, ἡ τελεία δόσις ≤ α′. πρὸς δυσεντερικοὺς καὶ κοιλιακούς. Ⳋ οἴνου Φαλερίνου ξέστας ἓξ, μέλιτος Ἀττικοῦ λίτρας ἓξ, ὁμοῦ ἑψήσας ἄχρις ἂν αὐτάρκως συστραφῇ χρῶ, δίδου πλῆρες κοχλιάριον ἐκλείχειν.

Πρὸς δυσεντερικοὺς καὶ πάντα τὰ ἐντὸς τροχίσκος παρ’ Εὐδήμου πρεσβυτέρου. Ⳋ Κρόκου, κασσίας σύριγγος ἀνὰ ≤ β′. νάρδου ≤ α′.

σμύρνης, στυπτηρίας, ὀποῦ μήκωνος ἀνὰ ⸉ β΄. σὺν ὕδατι ἀνάπλασσε τροχίσκους, δίδου δυσεντερικοῖς σὺν οἴνου κυάθοις δύο, πυρέσσουσιν ἐν ὕδατι, ἡπατικοῖς καὶ περιπνευμονικοῖς σὺν ὑδρομέλιτι, πλευριτικοῖς καὶ βηχικοῖς ὁμοίως. ἄλλο πρὸς δυσεντερικούς. ⸋ μαράθρου σπέρματος, ἀνίσου, σελίνου σπέρματος, σιδίων ἀνὰ ⸉ δ΄. ὀπίου ⸉ β΄. ὕδατι ποίει τροχίσκους δυοβολιαίους καὶ δίδου μεθ᾽ ὕδατος ἕνα.

13.292 Πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς ἐκ τῶν Ἀντιπάτρου. ⸋ Πεπέρεως μέλανος ⸉ δ΄. κηκίδος ⸉ δ΄. σμύρνης ⸉ β΄. κρόκου ⸉ β΄. νάρδου ⸉ α΄. λυκίου ⸉ α΄. ὑποκυστίδος χυλοῦ, ἀκακίας, ῥινήματος λωτοῦ, κόμμεως ἀνὰ ⸉ β΄. ὀπίου, ἀλόης, ἀνίσου ἀνὰ ⸉ α΄. ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα ⸉ β΄. βάτου χυλοῦ ἀναλαβὼν χρῶ.

Πρὸς δυσεντερικοὺς, κοιλιακοὺς, αἱμοπτυϊκοὺς, παρὰ Κορνηλίου ἰατροῦ. ⸋ Σμύρνης, λιβάνου, ἀλόης, κρόκου, ὀπίου, ῥοῦ Συριακοῦ καὶ τοῦ βυρσοδεψικοῦ, λυκίου Ἰνδικοῦ, ἀκακίας, σιδίων, ὑποκυστίδος χυλοῦ, κηκίδος, βαλαυστίων, ἑκάστου τὸ ἴσον. ποίει τροχίσκους τριωβολιαίους εἰς νύκτα, ἀπυρέτοις ἐν οἴνῳ, πυρέσσουσιν ἐν ψυχρῷ.

Ἄλλο πρὸς δυσεντερικοὺς Οὐάλεντος. ⸋ Μυρίκης καρποῦ, ῥοῦ Συριακοῦ, ὀπίου, πετροσελίνου ἴσον· ἕκαστον φώξας καὶ λεῖα ποιήσας, σὺν ὕδατι ποίει τροχίσκους κυαμιαίους. εἰς νύκτα δίδου πυρέσσουσιν σὺν θερμῷ ὕδατι, ἀπυρέτοις ἐν ψυχρῷ.

13.293 Πρὸς δυσεντερικοὺς ἐκ τῶν Λουκίου. ⸋ Στύρακος ⸉ β΄. ὀπίου, κρόκου, ἀκακίας, κηκίδος, μυρίκης καρποῦ ἀνὰ ⸉ α΄. ὕδατι ἀνάπλασσε τροχίσκους, καὶ δίδου ἡλίκον κύαμον Αἰγύπτιον σὺν οἴνῳ.

Πρὸς δυσεντερικοὺς καὶ αἱμοπτυϊκοὺς, ὥστε πρώτῃ πόσει κατασχεῖν τὴν ῥύσιν. ⸋ Κοχλιῶν κεκαυμένων ⸉ ιβ΄. κέρατος ἐλαφείου κεκαυμένου ⸉ η΄. ὀβολοὺς β΄. μύρτων μελάνων ⸉ ιε΄. ὀπίου πεφωγμένου ⸉ ε΄. ὀβολοὺς β΄. κηκίδος πεφωγμένης ⸉ ε΄. ὀβολοὺς β΄. οἰνάνθης ⸉ στ΄. ὑποκυστίδος χυλοῦ ⸉ ε΄. ὀβολοὺς β΄. μανδραγόρου ῥίζης ⸉ ιβ΄. ῥοῦ χυλοῦ, γῆς ἀστέρος ἀνὰ ⸉ ιβ΄. ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα ⸉ δ΄. σιδίων πεφωγμένων ⸉ ζ΄. λιβάνου ⸉ η΄. πίτυος φλοιοῦ πεφωγμένου ⸉ στ΄. σελίνου σπέρματος ⸉ ιδ΄. ὑοσκυάμου πεφωγμένου ⸉ ι΄. ῥοῦ σκυτοδεψικοῦ ξε. β΄. ἀκακίας πεφωγμένης ⸉ ε΄.

ὀβολοὺς β′. οἴνου μέλανος, ὥστε ἑψῆσαι τὸν ῥοῦν, ὡς παχύτατον χυλὸν γενέσθαι. ἔψε μὲν οὖν σὺν τῷ οἴνῳ καὶ οὕτω διηθήσας ἀναλάμβανε ἀναπλάσσων τῷ χυλῷ καὶ ποίει τροχίσκους ἀνὰ ‹ α′. καὶ τριώβολον καὶ ὀβολοὺς β′. δίδου πρὸς ἕξιν, πυρέσσουσι μὲν μεθ᾽ ὕδατος θερμοῦ κυάθων
13.294 γ′. ἀπυρέτοις δὲ μετ᾽ οἴνου κυάθων β′. ἐν ἄλλοις τοῦ ἐλαφείου κέρατος ‹ στ′. ὀβολοὶ β′. καὶ τῆς κηκίδος ‹ ζ′. ὀβολοὶ β′. καὶ τοῦ χυλοῦ τῆς ὑποκυστίδος ‹ ζ′. ὀβολοὶ β′. καὶ τῆς ἀκακίας ἴσον.

Πρὸς δυσεντερικοὺς Φλαβίου τοῦ πύκτου. Μύρτων ξηρῶν κεκομμένων ξε. α . ῥόδων ξηρῶν κεκομμένων ξε. . μάγματος μαλαβάθρου β . ἀρκευθίδων λ . ἀπίων ξηρῶν κεκομμένων ξε. α . πίτυος φλοιοῦ ιβ . σμύρνης α . κηκίδας ε . κεράτων κεκομμένων ξε. α . ἡ τελεία δόσις η . δίδου ξηρὸν σὺν οἴνῳ κεκραμένῳ, τὰ δὲ ἁδρομερῆ φοίνιξι λιπαροῖς ἀναλαμβάνων δίδου. πρὸς κοιλιακοὺς, ὥστε παραχρῆμα ἱστᾶν. μυρίκης καρποῦ δ . ῥοῦ ἐδωδίμου δ . μύρτων μελάνων δ . ἀκακίας β . μηκωνίου α . μήλων στύμματι ἀναλάμβανε καὶ τροχίσκους ποίει ἀνὰ α . καὶ χρῶ σὺν ὀπτοῦ ὠοῦ λεκίθῳ καὶ ὅταν δίδως πίνειν, ἔψε βάτου ῥίζαν ἢ μυρσίνης ἢ μήλων Κυδωνίων τὸ ἀφέψημα, τούτων δίδου ψυχρῶν κυάθους γ . σὺν τῷ φαρμάκῳ. ποιεῖ
13.295 λειεντερικοῖς. πότημα πρὸς τὰ ἐντὸς ῥεύματα, ἔξωθεν ἐπιτιθέμενον σὺν μέλιτι ἐφθῷ, ποιεῖ. ⁋ σελίνου σπέρματος ‹ δ′. ὑοσκυάμου σπέρματος ‹ δ′. ἀνίσου ‹ β′. ὑποκυστίδος χυλοῦ ‹ α′ ′′. ῥόδων σπέρματος ‹ α′ ′′. ὀποῦ μήκωνος ‹ α′. σμύρνης ‹ α′. κροκομάγματος ‹ α′. σὺν ὕδατι δίδοται τριώβολον καὶ ὀβολοὶ δύο καὶ ὀβολὸς εἷς. πότημα πρὸς πᾶν ῥεῦμα καὶ ἐμπνευμάτωσιν, Λουκίου Ταρσέως. ⁋ ἀνίσου, σελίνου σπέρματος ἀνὰ ‹ β′. ἀνήθου σπέρματος, δαύκου σπέρματος, τορδυλίου ἀνὰ ‹ δ′. ὀπίου, ὑοσκυάμου σπέρματος ἀνὰ ‹ α′ ′′. ὕδατι ἀναλάμβανε καὶ οὕτω χρῶ. πότημα πρὸς ῥοῦν γυναικεῖον σταλτικὸν, ὡς Ἀπολλώνιος. ⁋ κοραλλίου τριώβολον, λιβάνου ὀβολοὺς β′. ἀκακίας τριώβολον, βαλαυστίου τριώβολον, κόμμεως ὀβολὸν α′. ὠμοῦ ὠοῦ τῷ λευκῷ ἀνάπλαττε, δίδου τοῦ παντὸς τὸ ἥμισυ πίνειν μεθ᾽ ὕδατος κυάθων δ′.

Ἐνέματα δυσεντερικοῖς ἁρμόττοντα. Ἐνέματα δυσεντερικοῖς, τοῦ Ἰσιδώρου πρὸς τὰς γενομένας ἑλκώσεις ἐν ἀπευθυσμένῳ. ⁋ χάρτου

σποδοῦ ‹ ι′. στυπτηρίας σχιστῆς ‹ δ′. ἀρσενικοῦ ‹ δ′. σανδαράχης ‹ γ′.
13.296 λεπίδος χαλκοῦ, ὀμφακίου ἀνὰ ‹ γ′. κρόκου, ὀποῦ μήκωνος ἀνὰ ‹ β′. ἀσβέστου ‹ ε′. λεῖα μίσγε καὶ ἀναλάμβανε οἴνῳ γλυκεῖ, γίγνονται τροχίσκοι ἀνὰ ‹ γ′ καὶ β′ καὶ α′. ἡ χρῆσις ἀνίεται οἴνῳ αὐστηρῷ, ὡς γλοιοῦ πάχος, τούτῳ μίγνυται χυλὸς πτισάνης κυάθων β′. τούτῳ ἔγκλυζε τὸν πάσχοντα, λοιπὸν πρὸς δύναμιν τοῦ χυλοῦ τῆς πτισάνης καὶ τοῦ φαρμάκου. ἔνεμα Φαυστιανόν. ⁊ ἀρσενικοῦ ‹ ιβ′. χάρτου κεκαυμένου ‹ λ′. σανδαράχης ‹ στ′. ἀσβέστου ‹ ι′. οἱ δὲ ιβ′. ἀνάπλασσε τροχίσκους ἀνὰ ‹ δ′. ἀρνογλώσσου χυλοῦ ἔνιε ἐναφεψημένων στυμμάτων ἢ κράματος οἴνου κυάθους γ′ ἢ ἕξ.

Ἔνεμα ᾧ χρῶμαι τοῦ Ἀθηναίου, σύμφωνον Ἁρποκρᾷ, Μάγνῳ τῷ Φιλαδέλφῳ, καὶ Ἀριστολάῳ. ⁊ Ὄμφακος ‹ στ′. στυπτηρίας σχιστῆς ‹ στ′. ἀσβέστου, λεπίδος ἀνὰ ‹ στ′. ἀρσενικοῦ ‹ η′. σανδαράχης ‹ γ′. χάρτου κεκαυμένου ‹ ιε′. ἀναλάμβανε μυρτίτῃ καὶ γίνονται τροχίσκοι ‹ δ′ ἢ γ′. ἔνιε ἐν κράματι οἴνου κυάθους δ′. καὶ ὕδατος χλιαροῦ κυάθους β′. ὁτὲ δὲ
13.297 σὺν ὕδατι ὀμβρίῳ. ἔνεμα ᾧ χρῶμαι. ⁊ χάρτου κεκαυμένου ‹ λ′. ἀρσενικοῦ ‹ ιβ′. κηκίδος ‹ θ′. ἀσβέστου ‹ ιστ′. ἀσφάλτου ‹ ιστ′. θείου ἀπύρου ‹ ιστ′. σανδαράχης ‹ ιστ′. ἔνεμα ἄλλο ὡς Ἴδιος. ⁊ χαλκοῦ κεκαυμένου ‹ κδ′. ἀσβέστου, σχιστῆς ἀνὰ ἴσον, χάρτου κεκαυμένου ‹ λ′. ἀρσενικοῦ ‹ ιβ′. σανδαράχης ‹ ιβ′. ἀναλάμβανε μυρτίτῃ ἢ ῥόδων ἀφεψήματι σὺν οἴνῳ αὐστηρῷ ἑψημένων εἰς τὸ ἥμισυ, ἔκθλιβε τὰ ῥόδα καὶ οὕτω συλλεάνας ἀνάπλασσε καὶ τὸ αὐτὸ ἔνιε σὺν ὕδατι. ἔνεμα παρ’ Εὐβούλου. ⁊ λεπίδος χαλκοῦ ‹ κ′. χάρτου κεκαυμένου ‹ ιστ′. ἀσβέστου ‹ στ′. ἀρσενικοῦ ‹ η′. σανδαράχης ‹ ιε′. ἀκακίας ‹ ε′. ὀμφακίου ‹ γ′. τρυγὸς κεκαυμένου ‹ α′. οἴνῳ μυρτίτῃ ἀναλάμβανε καὶ ἔνιε κράματι θερμῷ. ἔνεμα Ἥρα. ⁊ χάρτου κεκαυμένου γο α′. ἀσβέστου γο ′′. καδμείας γο α′. ἀρσενικοῦ γο α′. τοῦ ξηρίου κοχλιάρια δύο, ἀφεψήματος μύρτων ἢ μυρτίτου κυάθους δ′. τὴν ἄσβεστον σβέννυε χυλῷ ἀρνογλώσσου. ἔνεμα τοῦ αὐτοῦ. ⁊ σανδαράχης, ἀρσενικοῦ ἀνὰ ‹ η′. ἀκακίας ‹ δ′. ἀσβέστου ‹
13.298 δ′. οἴνῳ αὐστηρῷ ἀναλάμβανε ποιῶν τροχίσκους ‹ γ′. ἐπὶ τῶν ἀσθενῶν ἔλασσον, ἐν κράματι οἴνου ἔνιε. ἄλλο. ⁊ σανδαράχης ‹ η′. ἀσβέστου προσφάτου ‹ ι′. χάρτου κεκαυμένου ‹ η′. οἱ δὲ ‹ λ′. σιδίων, κηκίδων, ἀκακίας ἀνὰ ‹ ε′. μαινίδων τεταριχευμένων ὄξει ἐπὶ ἡμέρας κα′. καὶ

κεκαυμένων ‹ γ′. ἀρσενικοῦ ‹ ιστ′. καίονται δὲ μαινίδες ἐν χύτρᾳ ὠμῇ, καὶ οἱ μὲν ξηρῷ χρῶνται, οἱ δὲ τροχίσκους μετὰ μύρτου ἀφεψήματος. ἐὰν δὲ μὴ βραδύνῃ, προένιε πολυγόνου χυλῷ ἢ ἅλμῃ. ἔνεμα ᾧ χρῶμαι προσφωνηθὲν ἄφθα. ⁊ ῥοῦ τοῦ ἐν Συρίᾳ, κηκίδων κεκομμένων ‹ ιε′. χάρτου κεκαυμένου ἴσον, φελλοῦ κεκαυμένου ‹ ιε′. ἄρτου Ἀλεξανδρίνου ξηροῦ κεκαυμένου ‹ ιε′. ἀρσενικοῦ ‹ ι′. σανδαράχης ‹ ι′. ἀκακίας ‹ ε′. ψιμυθίου ‹ κ′. ἀσβέστου ‹ ι′. λιθαργύρου ‹ γ′. οἴνῳ παλαιῷ ἀναλάμβανε, ποιῶν τροχίσκους, τοὺς μὲν ‹ β′. τοὺς δὲ ‹ γ′. τοὺς δὲ ‹ δ′. ἐγχυμάτιζε ἐν μὲν ἀρχῇ ἀρνογλώσσου χυλῷ ἢ πολυγόνου ἢ ἐλξίνης. ἐὰν δὲ μὴ παρῇ τι
13.299 τούτων, μεθ’ ὕδατος· ἐὰν δὲ ἀκμὴ εἴη καὶ ἰσχὺς τοῦ νοσήματος, ὅταν περιώδυνος εἴη, ἔνιε μετὰ τήλεως ἀφεψήματος ἢ λινοσπέρμου. ἐὰν δὲ παρακμὴ εἴη, μετὰ ἀφεψήματος μυρσίνης καὶ βάτου σὺν οἴνῳ ἑψημένων, ἐπὶ μὲν παίδων πλῆθος κυάθων δύο, ἐπὶ δὲ γυναικῶν κυάθων γ′. ἐπὶ δὲ ἀνδρῶν κυάθων τεσσάρων. ἔνεμα ᾧ χρῶμαι τὸ Γεμέλλου. ⁊ ἀρσενικοῦ ‹ η′. σανδαράχης ‹ δ′. ἀσβέστου ‹ η′. λεπίδος χαλκοῦ ‹ στ′. στυπτηρίας σχιστῆς ἴσον, ὀμφακίου ‹ η′. λυκίου Ἰνδικοῦ ἴσον, ὀποῦ μήκωνος ‹ δ′. ὑποκυστίδος χυλοῦ ἴσον, κρόκου ‹ β′. ἐγὼ δὲ δ′. χάρτου κεκαυμένου ‹ κ′. οἱ δὲ ‹ ιστ′. ἀναλάμβανε οἴνῳ μυρτίτῃ, ποίει τροχίσκους ἀνὰ ‹ δ′ καὶ γ′. ἔνιε ἐν κράματι οἴνου. ἔνεμα τὸ παρ’ Ἀγαθίου. ⁊ ἀρσενικοῦ ‹ β′. σανδαράχης ‹ ε′. ἀσβέστου ‹ γ′. χάρτου κεκαυμένου ‹ δ′. ἔνιε τοῦ φαρμάκου ‹ γ′. μετὰ ἁλῶν λείων ‹ γ′. ἐν ὕδατι ψυχρῷ κυάθων ἕξ.

Ἔνεμα πρὸς δυσεντερικοὺς ὡς Νικόστρατος, ᾧ Μένανδρος ἐχρήσατο. ⁊ Ἀσβέστου ‹ α′. γύψου ‹ η′. ἀκακίας ‹ β′. ὄμφακος ‹ α′. στίμμεως ‹ γ′.
13.300 λιβάνου ‹ α′. κηκίδος ‹ δ′. τραγακάνθης ‹ β′. οἴνῳ μυρτίτῃ ἀναλάμβανε τροχίσκους, ἀποτίθεται ἐν στεμφύλοις ξηροῖς ἵνα μὴ διαπνέῃ. ἔνεμα πρὸς δυσεντερικούς, παρὰ Θαμύρου. ⁊ ἀρσενικοῦ ‹ β′. σχιστῆς ‹ β′. καδμείας ἴσον, ἀσβέστου νεαρᾶς ‹ α′. χάρτου κεκαυμένου ‹ β′. φελλοῦ ἀπὸ κεραμίου οἴνου Φαλερίνου κεκαυμένου ‹ ζ′ ′′. ἀναλάμβανε τροχίσκους, ἑψήματι ἢ γλυκεῖ ἢ Σπανῷ πάλιν ἑψομένῳ παρά σοι. λειοτριβῶν δὲ τὸν τροχίσκον ἔνιε κοχλιάρια β′. τοῖς δὲ λοιποῖς πρὸς δύναμιν μετὰ φακοῦ ἀφεψήματος. ἐὰν δὲ μὴ ἔχῃς φακὸν, βάτον καθέψησον σὺν ῥόδοις ξηροῖς καὶ χωρὶς μύρτα ἀφέψει μετὰ οἴνου αὐστηροῦ, μίσγε ἑκάστου κύαθον α′. ὁτὲ δὲ μετ’ οἴνου κυάθων δ′. καὶ τοῦ ἀφεψήματος τοῦ βάτου κυάθους

δύο. ποιεῖ δὲ καὶ πινόμενον πρὸς δύναμιν μετὰ ψυχροῦ ὅσον κοχλιάριον ἔλαττον ἢ πλέον. ἔνεμα, ὡς Δηλήτιος Ἐπάγαθος. ⁋ ἀρσενικοῦ ᾱ ιβ′. ὑποκυστίδος χυλοῦ ᾱ γ′. σανδαράχης ᾱ γ′. χάρτου κεκαυμένου ᾱ λ′. ἀσβέστου ᾱ κδ′. βαλαυστίου ᾱ μη′. βαλαύστιον ἕψεται ἐν οἴνῳ αὐστηρῷ
13.301 παλαιῷ, εἶτα τῷ ἀφεψήματι τρῖβε τὰ λοιπὰ καὶ ἀνάπλαττε τροχίσκους ἀνὰ ᾱ δ′. τινὲς γο λέγουσιν, ἐν μύρτου καὶ φακοῦ ἀφεψήματι.

Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα πρὸς δυσεντερικοὺς, ὧν ἔνια καὶ κοιλιακοῖς ἁρμόττει. ⁋ Οἴνου μυρτίτου ξε. γ′. ῥοῦ ἐρυθροῦ κοτύλην α′. μέλιτος Ἀττικοῦ καθεψημένου λίτραν α′. ἕψε τὸν ῥοῦν καὶ τὸν γλυκὺν κινῶν κλωσὶ βάτου καὶ ὅταν τὸ τρίτον λειφθῇ, ἔκθλιβε τὸ ὑγρὸν καὶ τούτῳ ἐπιβαλὼν τὸ μέλι πάλιν ἕψε ἕως συστραφῇ καὶ δίδου μύστρον πρὸ τροφῆς. ἄλλο. ⁋ ῥοῦ Συριακοῦ, ἀλφίτου πάλης, σταφίδος σὺν τοῖς γιγάρτοις ᾱ β′. ῥοιᾶς κελύφων κεκομμένων καὶ σεσησμένων ᾱ α′. ἀναλάμβανε μέλιτι ἐφθῷ καὶ δίδου μύστρον πρὸ τροφῆς καὶ μετὰ τροφήν. ἀρτίσκος κοιλιακοῖς, δυσεντερικοῖς· ὠὸν ὠμὸν πρόσφατον τρήσας καὶ κενώσας εἰς ἀγγεῖον, τούτῳ παραμέτρει ἐλαίου ὀμφακίνου ἀγγεῖον ἓν, πεπέρεως λευκοῦ λειοτάτου τὸ αὐτὸ, ῥοῦ Συριακοῦ λειοτάτου τὸ αὐτὸ, κικίδων λειοτάτων ὀμφακιτίδων τὸ αὐτὸ, ἀλεύρων πυρίνων
13.302 ἴσον, ἅπαντα φυράσας καὶ μαλάξας, ἀρτίσκους ἀνάπλασσε καὶ τηγανίσας δίδου πρὸ τροφῆς. ἄλλο. τούτῳ ἴσμεν πολλοὺς χρησαμένους καὶ τῆς νόσου ἀπαλλαγέντας. ⁋ κηκίδων λειοτάτων κοχλιάριον, πεπέρεως λευκοῦ, ῥοῦ ἐρυθροῦ, σιδίων λειοτάτων, ἑκάστου ἴσον, ἅπαντα μαλάξας, ἀναλάμβανε ὠοῦ λεκίθῳ καὶ βαλὼν εἰς ῥοιᾶς κενώματα καὶ τὸ στόμιον στέατι περιπλάσας, ὄπτα ἐπ᾽ ἀνθράκων, ἔπειτα τὴν ῥοιὰν ἀποκαθάρας, δίδου κοχλιάριον ἓν φαγεῖν. καταπότια κοιλιακοῖς, δυσεντερικοῖς. ⁋ κηκίδων ὀμφακιτίδων ἀτρήτων ᾱ δ′. ὀπίου Σπανοῦ ᾱ β′. πετροσελίνου ᾱ α′. ἀναλάμβανε ὕδατι, ποίει καταπότια καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος παραμετρῶν τῇ δυνάμει. ἄλλο Ἀσπασίου φάρμακον γενναῖον. ⁋ πετροσελίνου, ἐρείκης καρποῦ, ῥοῦ Συριακοῦ, ὀπίου ἀνὰ ᾱ β′. μύρτων ἀφεψήματι ποίει καταπότια καὶ δίδου καθὰ προείρηται.

Τροχίσκος ἀνώδυνος, κοιλιακοῖς, δυσεντερικοῖς καὶ πίνεται καὶ ἐνίεται. ἔστι δ᾽ ὅτε αὐτῷ καὶ καταπλάσματι χρώμεθα, ἀναλαμβάνοντες μέλιτι

13.303 ἐφθῷ. ⁋ Ὑοσκυάμου σπέρματος ‹ δ′. σελίνου σπέρματος τὸ ἴσον, ἀνίσου, ῥόδων ἄνθους ἀνὰ ‹ β′. ὑποκυστίδος, ὀπίου ἀνὰ ‹ α′. ὕδατι λειώσας ἀνάπλασσε τροχίσκους καὶ δίδου τριώβολον, ἀπυρέτοις μετ᾽ οἴνου κεκραμένου κυάθων τριῶν, πυρέττουσι μεθ᾽ ὕδατος.

Ἄλλη κοιλιακοῖς, δυσεντερικοῖς φάρμακον ἐπιτετευγμένον καὶ πίνεται καὶ ἐνίεται καὶ τοῖς ἔξωθεν ἐπιτιθέμενον βοηθεῖ. ⁋ Σελίνου σπέρματος, ὑοσκυάμου σπέρματος, ἀνίσου, μαράθρου ἀνὰ ‹ δ′. ὀπίου, ῥοῦ Συριακοῦ ἀνὰ ‹ β′. ὑποκυστίδος χυλοῦ, βαλαυστίου ἀνὰ ‹ α′ ′. ὕδατι ἀναλάμβανε καὶ ποίει τροχίσκους, δίδου καθὰ προείρηται. τροχίσκος ἀρωματικὸς κοιλιακοῖς, δυσεντερικοῖς, ὁ τοῦ Βηρυτίου ἐπικαλούμενος, φάρμακον ἐπιτετευγμένον, ἴστησι παραχρῆμα. ⁋ κρόκου ‹ δ′. νάρδου Ἰνδικῆς, ἀνίσου, ἑκάστου τὸ ἴσον, σμύρνης ‹ β′. ἀλόης Ἰνδικῆς, ὑποκυστίδος χυλοῦ, λυκίου Ἰνδικοῦ, ἀκακίας χυλοῦ, ὀποῦ μήκωνος, κηκίδων ὀμφακιτίδων, τραγακάνθης, πεπέρεως λευκοῦ, ἑκάστου τοσόνδε, οἴνῳ ἀναλάμβανε, ἀνάπλασσε τροχίσκους, δίδου τριώβολον.

13.304 Ἄλλος ὁ τοῦ Φιλίππου πρὸς δυσεντερικοὺς κεχρονισμένους ἀνώδυνος, πίνεται καὶ ἐνίεται. ⁋ Βαλαυστίου, ἀκακίας, ὑποκυστίδος χυλοῦ, ῥοῦ, ὀπίου, λιβάνου, σμύρνης, μύρτων μελάνων, κρόκου, κηκίδων, λυκίου, ἀλόης, ῥήου Ποντικοῦ, σιδίων ἀνὰ ‹ δ′. ἀναλάμβανε οἴνῳ Ἰταλικῷ καὶ ποίει τροχίσκους, ὁλκὴν ἄγοντας τριώβολον, δίδου ἀπυρέτοις μετ᾽ οἴνου, πυρέσσουσι μεθ᾽ ὑδρομέλιτος.

Τροχίσκος ἀνώδυνος, γενναῖος ὑπνοποιὸς, κεχρονισμένοις δυσεντερικοῖς. ⁋ Χάρτου κεκαυμένου ‹ ι′. σανδαράχης, ἀρσενικοῦ, λεπίδος χαλκοῦ, στυπτηρίας σχιστῆς, ὀμφακίου, ἀσβέστου ἀνὰ ‹ ε′. κρόκου, ὀπίου ἀνὰ ‹ β′. ἕκαστον τρῖβε φιλοπόνως καὶ τρίψας ἀναλάμβανε οἴνῳ μυρτίτῃ καὶ ποίει τροχίσκους ὁλκὴν ἄγοντας καὶ χρῶ, λαμβάνων τὴν τελείαν ἔνεσιν ‹ γ′. τὴν δὲ μέσην β′. τὴν δὲ ὑφειμένην α′. ἐν δὲ τῇ σκευασίᾳ ἔστω σοι τὸ ὀμφάκιον μετὰ τοῦ ὀπίου βεβρεγμένον τῷ μυρτίτῃ γλυκεῖ. τὸ δὲ κρόκον ἔστω χωρὶς τετριμμένον, εἶτα ὁμοῦ μίξας τρῖβε φιλοπόνως, εἶτα τοῖς ξηροῖς κατάμιξον καὶ ἕνωσον, προσέχων μὴ
13.305 ὑπὸ τῆς ἀσβέστου καῇ τὸ φάρμακον. ἐὰν δέ τι τοιοῦτον ἐπακολουθήσῃ, ἐπίβαλλε τοῦ μυρτίτου ἱκανὸν, ὥστε ἅπαντα διαλυθῆναι. δεῖ δὲ ἐνθέρμου

ὄντος τοῦ φαρμάκου ἀναπλάττειν τοὺς τροχίσκους. ἡ χρῆσις τῆς ἐν τῇ συστάσει ἀπαλλαγῆς πρὸς τὰς εὐπαθείας καὶ δυσπαθείας τῶν καμνόντων καὶ πρὸς τὸ μέγεθος. ἔνιε δὲ ἐπιμελῶς, ἐπὶ μὲν τῶν ἀπυρέτων μετ᾽ οἴνου αὐστηροῦ κεκραμένου κυάθων στ′. ἐπὶ δὲ τῶν πυρεσσόντων μεθ᾽ ὕδατος ἢ ἀφεψήματος φοινικοβαλάνων ἢ ῥόδων ἢ μυρσίνης. δεῖ δὲ πρὸ τῆς ἐνέσεως ἄρτον διδόναι, ἀπυρέτοις μὲν μετὰ κράματος οἴνου, πυρέττουσι δὲ μεθ᾽ ὕδατος.

Ἄλλος δυσεντερικοῖς ἀπυρέτοις, ποιεῖ παραχρῆμα. ℈ Χάρτου κεκαυμένου ⟨ ι′. σανδαράχης, ἀρσενικοῦ, λεπίδος χαλκοῦ, σχιστῆς, ὀμφακίου, λυκίου Ἰνδικοῦ, ἀκακίας χυλοῦ, ὑποκυστίδος χυλοῦ, ἀσβέστου ἀνὰ ⟨ ε′. κρόκου, ὀπίου ἀνὰ ⟨ β′. οἴνῳ μυρτίτῃ ἀναλάμβανε καὶ ἀνάπλασσε τροχίσκους διαφόρους τῷ μεγέθει, ἡ τελεία ἔνεσις ⟨ δ′. ἐνιέναι δὲ χρὴ πρὸς τὸ μέγεθος τῆς διαθέσεως παραμετροῦντα καὶ τὴν
13.306 ποσότητα. ἔστω δὲ τὸ ὑγρὸν κρᾶμα γλυκέος Κρητικοῦ, ὥστε εἶναι ἐπὶ τελείας ἐνέσεως κυάθους στ′.

Ἐπιθέματα κοιλιακοῖς, δυσεντερικοῖς. ℈ Ὑοσκυάμου λευκοῦ σπέρματος, σελίνου σπέρματος ἀνὰ γο δ′. ἀνίσου σπέρματος, ῥόδων ἄνθους, ὑποκυστίδος χυλοῦ, βαλαυστίου, ῥοῦ Συριακοῦ ἀνὰ γο β′. ὀποῦ μήκωνος γο α′. κρόκου γο α′. τούτων ἕκαστον λειώσας μετ᾽ οἴνου μυρτίτου, εἶτα ὁμοῦ μίξας, ἀνάπλασσε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ, ἔνθεν κόπτων καὶ σήθων ὅσον ἐξαρκεῖ, ἀναλάμβανε φοίνιξι πατητοῖς, ἔπειτα ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει ἐπὶ τῇ κοιλίᾳ. ἄλλο. ℈ ἀκακίας χυλοῦ, σιδίων ῥοιᾶς, ὑοσκυάμου σπέρματος, ὀπίου, κηκίδων, ὀμφακίου, ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα, Συριακοῦ ἀνὰ γο γ′. μύρτων μελάνων κοτύλην α′. κόπτε καὶ σῆθε καὶ οἴνῳ αὐστηρῷ φυράσας, ἀνάπλασσε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἡ χρῆσις δεδήλωται.

Περὶ παθῶν ἑδρικῶν. Τὰ κατὰ τὴν ἕδραν πάθη διὰ πολλὰς αἰτίας ἐστὶ δυσίατα, καὶ γὰρ αἰσθητικὸν ἱκανῶς ἐστι τὸ μόριον. εἴρηται δὲ πολλάκις
13.307 ἐρεθίζεσθαι ῥᾳδίως τὰ τοιαῦτα πρὸς τῶν δριμυτέρων καὶ αὐστηρῶν φαρμάκων, καὶ μέντοι καὶ ἡ τῶν περιττωμάτων τῆς τροφῆς διέξοδος αὐτή τε καθ᾽ αὐτὴν δακνώδης ἐστὶ καὶ μᾶλλον ἐπὶ τῷ διεξέρχεσθαι τήν τε χολὴν αὐτὴν καί τινας ἰχῶρας ἐνίοτε, καὶ πρὸς τούτοις ἔτι τὸ μηδὲ ἐπὶ

τοῖς ἰατροῖς εἶναι τὴν προθεσμίαν τῆς ἐπιθέσεως τῶν φαρμάκων, ἀλλ᾽ ὡς τὰ πολλὰ κατὰ καιροὺς οὐ προσήκοντας ἐπὶ τὴν ἀπόκρισιν ὁρμᾷν τοὺς κάμνοντας. ἀλλὰ καὶ ἡ ὑγρότης καὶ θερμότης τοῦ χωρίου, δεομένη τῶν ξηραινόντων τε ἅμα καὶ ψυχόντων, οὐ σμικρὰ συντελεῖ πρὸς τὸ δυσίατον. εἴ γε δὴ δάκνει μὲν τὰ στύφοντα, φέρειν δὲ οὐ δύναται τὴν δῆξιν ὁ τόπος, εὐαίσθητος τυγχάνων, διὰ ταῦτ᾽ αὐτοῖς ἐπιτηδειότατα φάρμακά ἐστιν ὅσα στύφει χωρὶς τοῦ τραχύνειν, ὁποῖα μάλιστά ἐστι τῶν μεταλλικῶν ὅσα μήτε δριμέα μήτε στρυφνὰ πάντῃ τετύχηκεν ὄντα. ταῦτα γὰρ πλυνθέντα χωρὶς τοῦ δάκνειν ἐργάζεται τὸ δέον. ταῦτ᾽ οὖν καθόλου μεμνημένοι τὴν πεπειραμένην ὕλην ἐφεξῆς γεγραμμένην ἕξετε.

13.308 Αἱ ὑπ᾽ Ἀνδρομάχου γεγραμμέναι ἑδρικαί. Ἑδρικὴ ᾗ χρῶμαι. ⪤ Ψιμυθίου, λιθαργύρου ἀνὰ ʃ ε′. λιβάνου, σχιστῆς ἀνὰ ʃ γ′. κρόκου τριώβολον, οἴνου καὶ ῥοδίνου τὸ ἱκανόν. ἑδρικὴ, ὡς Ἀπολλώνιος, ᾗ χρῶμαι. ⪤ Λυκίου Ἰνδικοῦ γο β′. οἰσύπου γο α′. κηροῦ Τυρρηνικοῦ γο δ′. οἱ δὲ γο β′. ῥοδίνου τὸ ἱκανόν. ἄλλη. ⪤ Βουτύρου γο α′ ′′. κηροῦ γο α′ ′′. μυελοῦ ἐλαφείου γο α′. οἰσύπου γο α′. λιβάνου γο α′. σχιστῆς γο γ′. λυκίου γο β′. οἴνου καὶ ῥοδίνου τὸ ἱκανόν. ἄλλη, ὡς Νικόστρατος. ⪤ κηροῦ Τυρρηνικοῦ γο α′. λυκίου Ἰνδικοῦ γο β′. βαλαυστίου γο ′′. οἰσύπου γο α′. ἀκακίας γο ′′. ῥοδίνου γο δ′. ἑδρικὴ ὡς Ἡρόφιλος. ⪤ ῥόδων ξηρῶν ἢ χλωρῶν ʃ β′. ψιμυθίου ʃ β′. πομφόλυγος ʃ β′. κρόκου ʃ β′. λιθαργύρου πεπλυμένου ʃ β′. μελιλώτου ʃ β′. σχοίνου ʃ α′. μηκωνίου ʃ α′. οἰσύπου ʃ α′. ὠοῦ λέκιθον ὀπτὴν α′. ῥοδίνου τὸ ἱκανὸν, χυλοῦ ἀρνογλώσσου κυάθους δύο. ἄλλη ποιοῦσα καὶ πρὸς κνησμούς. ⪤ λιθαργύρου λίτρας ′′. λιβάνου, γῆς Σαμίας ἀνὰ γο α′. οἰσύπου γο β′. ῥοδίνου γο β′. μηλίνου λίτρας ′′. λέαινε τὰ ξηρὰ οἴνῳ Φαλερίνῳ ἐν σκιᾷ, ἐπιπάσσων οἴσυπον
13.309 καὶ τὰ μύρτα τὰ δύο προσθεὶς τρῖβε. ἑδρικὴ, ᾗ χρῶμαι πρὸς κονδυλώματα καὶ τὰς ἐν δακτυλίῳ φλεγμονὰς καὶ ῥαγάδας. ⪤ ἀμμωνιακοῦ θυμιάματος, λίθου αἱματίτου, λιβάνου, στυπτηρίας στρογγύλης, ἑκάστου ʃ β′. κηκίδος, κρόκου ἀνὰ ʃ α′. τερμινθίνης ʃ α′. κηροῦ Τυρρηνικοῦ ʃ ιβ′. ῥοδίνου κοτύλας δ′. χρῶ ἐν τῷ πεσσῷ μετὰ Συριακοῦ, ἐπὶ τῶν λοιπῶν μετὰ ῥοδίνου. ἑδρικὴ ἡ διὰ τῶν ἐγκεφάλων. ⪤ στέατος χηνείου τεθεραπευμένου, κηροῦ, λιβάνου, μυελοῦ ἐλαφείου, ῥόδων ἄνθους, πομφόλυγος, καδμείας, μολύβδου πεπλυμένου ἀνὰ ʃ δ′. ψιμυθίου ʃ η′.

ἐγκεφάλου γεράνου ⸀ β′. ὀποῦ μήκωνος ⸀ α′ ′′. οἰσύπου ⸀ ε′. σέριδος χυλοῦ κοτύλην α′. ῥοδίνου κοτύλης ′′. ἑδρικὴ παρὰ Ῥουστίκου, ᾗ χρῶμαι. ⸂ ῥόδων χλωρῶν ⸀ η′. γάλακτος γυναικείου κοτύλην α′. λιθαργύρου ⸀ μ′. μηκωνίου ⸀ μ′. ὠὰ ὠμὰ ὁλόκληρα δύο, βουτύρου ⸀ ιστ′. οἰσύπου ⸀ ιστ′. σιδίων ⸀ ιστ′. μέλιτος ⸀ ρ′. ἐν ἄλλῳ κοτύλης ′′. κηροῦ ⸀ μ′. ῥοδίνου ἢ μυρσίνου, κοτύλης ′′. ὡς δὲ Ἥρας, ἀντὶ οἰσύπου χηνείου
13.310 στέατος ἴσον καὶ λιθαργύρου ⸀ ι′. γάλακτος κοτύλας δ′. καὶ λέκιθον ὀπτήν. ἑδρικὴ παρὰ Τυράννου. ⸂ λιθαργύρου γο β′. ψιμυθίου γο β′ ′′. λιβάνου γο α′. σμύρνης γο α′. καδμείας γο α′ ′′. σχιστῆς γο δ′. κηροῦ γο δ′. οἴνου καὶ ῥοδίνου ἄλλη Σαμίθρης, πολύχρηστος. ⸂ λιθαργύρου ⸀ ιβ′. ψιμυθίου ⸀ β′. χαλκίτεως ⸀ β′. μίσυος ὀπτοῦ ⸀ α′. τερμινθίνης ⸀ στ′. ἐλαίου καὶ ὕδατος κοτύλας δ′. λιπαρὰ πρὸς ἀχῶρας καὶ ψώρας. ⸂ λιθαργύρου, ψιμυθίου ἀνὰ ⸀ λβ′. χαλκάνθου ⸀ ιστ′. θείου ἀπύρου ⸀ η′. μυρσίνου καὶ ὄξους τὸ ἱκανόν. λιπαρὰ Γάλλου. ⸂ λιθαργύρου ⸀ κδ′. ψιμυθίου ⸀ κδ′. σμύρνης ⸀ η′. λιβάνου ⸀ ι′. μυρσίνης ⸀ ιδ′. οἴνου αὐστηροῦ τὸ ἴσον. λιπαρὰ, ᾗ χρῶμαι, Κλεοφάντου. ⸂ μυρσίνου ἐλαίου, σχινίνου, ῥοδίνου ἀνὰ ⸀ ιστ′. ψιμυθίου λίτραν μίαν, λιθαργύρου πεπλυμένου γο στ′. οἴνου παλαιοῦ Ἰταλικοῦ ξέστου ′′. κηροῦ γο δ′. ἄλλη ἐννεαφάρμακος. ⸂ μέλιτος μέρος ἓν, κηροῦ λευκοῦ μέρος ἓν, μυελοῦ ἐλαφείου, σμύρνης ἀνὰ μέρος ἓν, βουτύρου μέρος ἓν, στέατος
13.311 χηνείου, στέατος μοσχείου ἀνὰ μέρος α′. τερμινθίνης μέρος ἓν, ἐλαίου ῥοδίνου μέρος ἓν, ἔνιοι δὲ καὶ κίκεως ἕν. ἡ Ξανίτης, πολύχρηστος. ⸂ κηροῦ ⸀ ιστ′. βουτύρου ⸀ ι′. οἰσύπου ⸀ ι′. στέατος χηνείου ⸀ η′. τερμινθίνης ⸀ η′. μυελοῦ ἐλαφείου ⸀ δ′. ῥοδίνου ὀλίγον. ἡ διὰ πηγάνου. ⸂ λιθαργύρου μνᾶν α′. πηγάνου μνᾶς ′′. οἱ δὲ μνᾶν α′. ὄξους ⸀ δ′. ἐλαίου τὸ ἱκανόν. πρὸς φίμους καὶ τὰ ἐν ἕδρᾳ. ⸂ μολύβδου κεκαυμένου καὶ πεπλυμένου ⸀ ι′. ψιμυθίου ⸀ δ′. κηροῦ ⸀ ιβ′. στέατος χοιρείου ἢ χηνείου ⸀ δ′. ἐλαίου τὸ ἱκανόν. πρὸς φίμους καὶ τὰ ἐν ἕδρᾳ τοῦ Εἰκοδότου, ἐν ᾧ Ἀστάινος ἐθεραπεύθη. ⸂ οἰσύπου ⸀ α′. ὀβολοὺς γ′. στέατος χηνείου τεθεραπευμένου χειμῶνος ⸀ στ′. θερίας ⸀ δ′. μυελοῦ ἐλαφείου ἢ καμήλου ⸀ β′. κηροῦ Τυρρηνικοῦ ⸀ η′. μολύβδου κεκαυμένου καὶ πεπλυμένου ⸀ δ′. λαδάνου ⸀ β′. στέατος μοσχείου ⸀ δ′. τερμινθίνης ⸀ δ′. ψιμυθίου ⸀ β′. λιθαργύρου ⸀ α′. ῥοδίνου κοτύλης τέταρτον, τουτέστι κύαθον α′ ′′. ὅ

ἐστι γο β′ ′′. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ὅταν τῷ χρόνῳ σκληρυνθῇ,
13.312 ἀνίεται ῥοδίνῳ καὶ στέατι χηνείῳ. ποιεῖ καὶ πρὸς ἀγκύλας. πρὸς κονδυλώματα, οὗ ἄμεινον οὐκ ἔστιν. ⁊ στυπτηρίας σχιστῆς ‹ γ′. κηροῦ ‹ η′. κρόκου ‹ δ′. ψιμυθίου ‹ β′. ὀποβαλσάμου ‹ α′. οἰσύπου ‹ η′. λιβάνου ‹ δ′. ἀλόης ‹ δ′. τὰ τηκτὰ τήξας τῶν ξηρῶν τετριμμένων κατάχει.

Ἀσκληπιάδου πρὸς τοὺς προπίπτοντας ἀρχοὺς τὰ ἐκ τοῦ πέμπτου τῶν ἐκτός. Πρὸς προπίπτοντας ἀρχοὺς, ὡς Ἀρχέλαος. ⁊ Σκωρίας μολύβδου ‹ η′. ῥοῦ Συριακοῦ ‹ η′. ῥόδων ἄνθους ‹ δ′. σμύρνης μινναίας ‹ β′. ξηρῷ παράπτου προαπονίπτων οἴνῳ αὐστηρῷ ἢ σχίνων ἀφεψήματι. ἄλλο. ⁊ κηκίδος ὀμφακίνης, σιδίων ξηρῶν, ῥοῦ βυρσοδεψικῆς ἀνὰ ‹ β′. μολύβδου κεκαυμένου ‹ δ′. λιθαργύρου ‹ η′. λιβάνου ‹ β′. λείοις κατάπλασσε. ἄλλο. ⁊ βαλαυστίου ‹ α′. σιδίων ῥοιᾶς ‹ β′. ὑοσκυάμου σπέρματος ‹ β′. ψιμυθίου ‹ η′. σμύρνης ‹ β′. μολύβδου πεπλυμένου ‹ β′. λείοις χρῶ. ἄλλο. ⁊ πίτυος φλοιοῦ, λιθαργύρου, μάννης ἀνὰ ‹ β′. κυπαρίσσου σφαιρίων ξηρῶν ‹ β′. μολυβδαίνης ‹ β′. λείοις κατάπλασσε, πρότερον
13.313 οἴνῳ ἀπονίψας στρυφνῷ. τὸ ἡμέτερον πρὸς τοὺς προπίπτοντας ἀρχούς. ⁊ ἐρείκης καρποῦ, κηκίδων, ἀκακίας, ψιμυθίου, ὑποκυστίδος χυλοῦ, πίτυος φλοιοῦ, λιβάνου, σμύρνης μινναίας ἀνὰ ‹ δ′. ξηροῖς κατάπασσε προαπονίψας οἴνῳ αὐστηρῷ.

Περὶ αἱμορροΐδων. Τὰ ἐν τῷ πέμπτῳ τῶν ἐκτὸς ὑπὸ Ἀσκληπιάδου γεγραμμένα περὶ αἱμορροΐδων ἐπὶ λέξεως τῆς ὑπογεγραμμένης. ἐπεὶ δὲ τῶν αἱμορροΐδων αἱ πολλαὶ χρείαν ἔχουσιν ἐκστροφῆς πρὸς εὐχερῆ τῶν φαρμάκων ἐπίθεσιν, ἀναγκαῖον καὶ τὰς τοιαύτας δυνάμεις ὑπογράφειν. ἐκστρόφια αἱμορροΐδων Μάγνου Ταρσέως, φάρμακον ἐπιτετευγμένον πρὸς τὰς τῶν αἱμορροΐδων ἐκστροφάς. ⁊ πεπέρεως, νίτρου ἀνὰ ‹ α′. λείοις παράπτου πρὸ τῆς τῶν φαρμάκων ἐπιθέσεως. ἄλλο. ⁊ ἀφρονίτρου, χολῆς ταυρείας, σταφίδος ἀγρίας ἀνὰ ‹ α′. λείοις παράπτου, μέλιτος ὀλίγον πρόσβαλλε. ἄλλο. ⁊ ἀψινθίου χυλοῦ ‹ α′. χολῆς ταυρείας, σταφίδος ἀγρίας ἀνὰ ‹ α′. ἄλλο ὡς Διογένης. ⁊ κυκλαμίνου χυλοῦ,
13.314 μέλιτος, ἑκάστου ἴσον, ἔψε ἐν ἀγγείῳ χαλκῷ, ὥστε κηρωτῆς ὑγρᾶς ἔχειν τὸ πάχος. ἄλλο ἐκ τῶν Λάργου, ὥστε τὰς μόγις προπιπτούσας ἐκστρέφειν αἱμορροΐδας. ⁊ κενταυρείας χυλοῦ ‹ β′. στυπτηρίας ὑγρᾶς ‹ β′. μίσυος ‹

α′. σταφίδος ἀγρίας ‹ α′. μέλιτι ἀναλάμβανε καὶ περίχριε τὸν δακτύλιον ἢ ἔριον καταβρέξας εἰς τὴν ἕδραν ἐπιτίθει. εἰ δὲ προθυμίαν ἐμποιοῖ σοι τὸ φάρμακον ἐξαναστάσεως καὶ προπέσοι ὁ ὄγκος, κατάπλαττε τοῖς πρὸς αἱμορροΐδας ἀναγεγραμμένοις, ἐπειδὴ ὑπὸ τῶν τοιούτων εὐχρήστων τὴν ἕδραν ἐκστρέφει, ἀναγκαῖον ἀναγράφειν σκευασίας παρὰ Νικοδήμου τοῦ ἐν Ῥώμῃ εὐαφίου. ℈ ψιμυθίου γο α′. λιθαργύρου γο ε′. καδμείας γο η′ ἢ πομφόλυγος γο α′. ἐλαίου μυρσίνου γο η′. οἴνου καλοῦ γο η′. βουτύρου γο α′. πρὸς τὰς ἐν ἕδρᾳ φλεγμονὰς καὶ προπτώσεις. κηκίδα τὴν ξανθὴν ἑψήσας καὶ λειώσας κατάπλασσε, ἰσχυροτέρῳ μὲν οἴνῳ, πραοτέρῳ δὲ ὕδατι, καὶ ὁ χυλὸς τῆς ἐχίνου ποιεῖ πρὸς φλεγμονὰς καὶ προπτώσεις τῆς ἕδρας. ἄλλο. ℈ πίτυος φλοιοῦ ‹ η′. κυπαρίσσου σφαιρίων ξηρῶν ‹ β′.
13.315 προαπονίψας οἴνῳ στρυφνῷ λείοις κατάπλασσε. πρὸς δὲ τὰς πυρώδεις ὀδύνας τῆς ἕδρας, ὠοῦ ὀπτοῦ λέκυθον λειώσας οἴνῳ λευκῷ καὶ ῥοδίνῃ κηρωτῇ ἀναλαβὼν διάχριε. πρὸς δὲ τοὺς κνησμοὺς, τὴν κιμωλίαν λειώσας ἀναλάμβανε κηρωτῇ μυρσίνῃ. πρὸς δὲ τὰς ἐν δακτυλίῳ καὶ αἰδοίῳ ῥαγάδας, σποδοῦ ξυσμάτων ὀθονίων κεκαυμένων καὶ ἀμύλου ἴσον λεάνας καὶ ἐλαιῶν φύλλων χυλοῦ μίξας κατάχριε. τροχίσκος πρὸς ἐξοχάς. ℈ ἀλόης, κρόκου ἀνὰ ‹ β′ ′′. στυπτηρίας σχιστῆς γο α′. λείου οἴνῳ Ἀμιναίῳ καὶ χρῶ.

Πρὸς τὰς τοῦ αἰδοίου διαθέσεις. Τῆς τοῦ αἰδοίου ἑλκώσεως ἡ διάγνωσις ἐκ τοῦ σαφῶς ὀδυνᾶσθαι κατ’ αὐτὸ μετὰ τοῦ καὶ κατὰ τὰς οὐρήσεις ἐκκρίνεσθαί τι τῶν συνεδρευόντων τῷ ἕλκει. διακρίνεται δὲ ταῦτα τῶν ἐκ κύστεως φερομένων τῷ φθάνειν αὐτίκα κατὰ τὴν πρώτην ἔξοδον φαίνεσθαι· τὰ δὲ ἐκ τῆς κύστεως ἀναμεμίχθαι τοῖς οὔροις. τὰ δ’ ἐν αἰδοίοις ἕλκη καὶ κατὰ τὴν ἕδραν χωρὶς φλεγμονῆς ὄντα ξηραινόντων πάνυ δεῖται φαρμάκων, οἷά ἐστι τό τε διὰ τοῦ κεκαυμένου χάρτου καὶ
13.316 ἄνηθον κεκαυμένον ξηρὸν καὶ κολοκύνθη κεκαυμένη. τοῖς δὲ ἀνίκμοις καὶ προσφάτοις τῶν ἑλκῶν καὶ ἀλόη φάρμακον ἀγαθὸν, ἐπιπαττομένη ξηρὰ χνοώδης. πάντων δ’ αὐτῶν ἀνωδυνώτατόν τε καὶ οὐδενὸς ἧττον δραστήριον ὁ πομφόλυξ ἐστίν. εἰ δὲ ὑγρότερα τύχοι τὰ ἕλκη, πίτυος φλοιὸς καθ’ ἑαυτὸν καὶ λίθος αἱματίτης. εἰ δὲ καὶ βάθος αὐτοῖς τι συνῇ τοῖς εἰρημένοις, μάννης μικτέον. αἱ δὲ κατὰ τὴν μήτραν ἑλκώσεις ἢ κύστιν τῶν αὐτῶν δεόμεναι φαρμάκων, ὀργάνων χρῄζουσι τῶν εἴσω

παραπεμπόντων αὐτὰ, διὰ τῶν μητρεγχυτῶν καὶ καθετήρων καλουμένων. ἐπιτηδειότερα τοίνυν τὰ ξηρὰ, οἷός ἐστι κρόκος καὶ πομφόλυξ καὶ ἀλόη, μίγνυμεν ῥᾳδίως εἴτε ἀρνογλώσσου χυλῷ εἴθ' ἑτέρῳ τοιούτῳ. πρὸς τοὺς ὀσχέου καὶ αἰδοίου πόνους. βουτύρῳ καὶ ῥητίνῃ ἴσοις χρῶ. ἢ λινόσπερμον ἑψήσας μεθ' ὕδατος καὶ μίξας σμύρνης ὅσον δέκατον μέρος καὶ ῥητίνης ἴσον κατάπλασσε. πρὸς δὲ τὸ οἰδοῦν αἰδοῖον. ⲋ ἀμπέλου φύλλων ἁπαλῶν ⸂ α′. λιβανωτοῦ ⸂ α′. ψιμυθίου ⸂ ε′. τρίψας κατάπλασσε. χρῶ δὲ καὶ καταντλήσει θαλάσσης ψυχρᾷ καὶ ἀναπαύσει καὶ
13.317 ἀναδέσει τοῦ καυλοῦ. ἄλλο. φακὴν ἐφήσας ἐν ὕδατι καὶ ῥοιῶν λέπη λειώσας κατάπλασσε. ἐὰν δὲ ἀπὸ ἱδρώτων ἐν ὀσχέῳ ἕλκη γένηται, κηκίδα λείαν καὶ στυπτηρίαν ἐπίπασσε. πρὸς δὲ τὰ ἐν αἰδοίοις φυόμενα ἀπίου σπέρμα ἐπίπασσε καὶ τραγείᾳ χολῇ περίχριε. τὰς δὲ ῥαγάδας ἐν αἰδοίοις ὠφελεῖ ῥητίνη φρυκτὴ σὺν ῥοδίνῳ τριβεῖσα, ἄχρις ἂν γλοιωθῇ μιγνυμένης καὶ ὠοῦ λεκίθου ὀπτῆς ἢ ῥοδίνου καὶ ἀμύλου καὶ λιβάνου ἀνὰ γο α′. ἢ κισσοῦ φύλλων ξηρῶν κεκαυμένων ἡ τέφρα, τριβεῖσα μετ' ἐλαίου ἐν θυείᾳ μολυβδίνῃ. πρὸς τὰς τῶν αἰδοίων φλεγμονάς. σταφίδος ἐκγεγιγαρτισμένης καὶ κύμινον τρίψας ἐπιτίθει. ἢ κρίθινον ἄλευρον ἑψήσας ἐν μελικράτῳ, ἀμπέλου ἁπαλὰ φύλλα τρίψας μετὰ ἀλφίτου, ἅπαντα ἐπιτίθει. ἢ κύμινον τρίψας μετὰ βουτύρου καὶ ῥητίνης ἴσων τακέντων. πρὸς δὲ τοὺς διδύμους ἀφθῶντας, γῇ κιμωλίᾳ μεθ' ὕδατος προκαταχρίσας, ἔασον ξηρανθῆναι καὶ κατανίψας ὕδατι θερμῷ μυρσίνην ξηρὰν λείαν καὶ σμυρνίου σμικρὸν τρίψας κατάπλασσε. τὰς δὲ
13.318 ἐκσαρκώσεις τὰς ἐπὶ τῶν διδύμων τέφρα κληματίνη, σὺν νίτρῳ καὶ ὕδατι φυραθεῖσα, ἰᾶται καταπλασσομένη.

Περὶ πριαπισμοῦ. Ὁ πριαπισμὸς αὔξησις αἰδοίου ἐστὶ μόνιμος εἰς μῆκός τε καὶ κύκλον ὀγκουμένου, χωρὶς τῆς εἰς ἀφροδίσια ὁρμῆς. φυσῶδές ἐστι πνεῦμα δηλονότι τὸ ἐξογκοῦν τὸ μόριον, τικτόμενον ἐξ ὑγρῶν γλίσχρων καὶ παχέων, ὑπὸ θερμότητος μετρίας. πρόδηλον οὖν ὡς οὐ δεῖ τὰ μόρια θερμαίνειν, ἀλλὰ ψύχειν ἐπιεικῶς, τῇ ῥοδίνῃ κηρωτῇ μεθ' ὕδατος ἀνακοπτομένῃ καὶ διὰ τοῦ χαμαιμήλου τῷ τε αἰδοίῳ καὶ ταῖς ψόαις ἐπιτεθέντα. τὰ δὲ ἐν διαίτῃ καὶ φαρμάκοις προσφέρειν τῆς λεπτυνούσης δυνάμεως ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς, προσάγειν δὲ καὶ τὰ φυσικῶς ἐνεργοῦντα διὰ τῆς πείρας εὑρημένα καὶ τήν τε νυμφαίαν πίνειν διδόναι

καὶ τὸ τοῦ ἄγνου σπέρμα καὶ πήγανον χλωρὸν τοῖς ὄψοις μιγνύντα, τοῦτο δὲ κατ᾽ ἀρχὰς μὴ διδόναι, θερμαίνει γὰρ ἱκανῶς, ἀλλ᾽ ὕστερον μετὰ τὴν χρῆσιν τῶν ἄλλων λεπτυνόντων. κενώσει δὲ χρώμενον δι᾽ ἐμέτων
13.319 τοῦτο ποιεῖν. αἱ γὰρ διὰ τῆς κάτω γαστρὸς ῥευματίζουσι πολλάκις καὶ τὰ γειτνιῶντα μόρια. πρὸς τοὺς ἐνουροῦντας. κύστιν αἰγείαν ἢ προβατείαν κεκαυμένην πότιζε δι᾽ ὀξυκράτου, ἑσπέρας δὲ διψῶντας κοιμᾶσθαι. ποιεῖ δὲ καὶ λαγωοῦ ὄρχις ἐπιζεννύμενος οἴνῳ εὐώδει, εἶτα πινόμενος. καλαμίνθην καὶ σμύρναν δὸς πιεῖν ἐν οἴνῳ πρὸ τοῦ δείπνου. καταχριέσθω δὲ καὶ τὸ αἰδοῖον κιμωλίᾳ μετὰ περδικίου χυλοῦ.

Πρὸς τὰς τῆς ὑστέρας διαθέσεις. Ἐπὶ τῆς ὑστερικῆς πνιγὸς συμβαίνει ἀναισθησία καὶ ἀκινησία καὶ σφυγμὸς ἀμυδρὸς καὶ μικρὸς καὶ παντελὴς ἀσφυξία. ἐπ᾽ ἐνίων δὲ ἡ μὲν αἴσθησις καὶ ἡ κίνησις πάρεστι καὶ ὁ λογισμὸς, μόλις δὲ ἀναπνέουσιν. ἔνιαι δὲ καὶ ἄφωνοι τυγχάνουσιν, ἕτεραι δὲ συνέλκονται τὰ κῶλα. γίνεται τοίνυν ἡ ἀναισθησία καὶ ἀκινησία καὶ ἄπνοια κατὰ ψύξιν αὐταῖς, ἀρκουμέναις μόνῃ τῇ διὰ τῶν ἀρτηριῶν παντὸς τοῦ σώματος διαπνοῇ, τῆς διὰ τοῦ στόματος ἀναπνοῆς μὴ χρῃζούσαις, ὡς εἴρηται, διὰ ψύξιν, ὁπόταν ἐν τῷ πρόσθεν χρόνῳ καθαιρούμεναι καλῶς καὶ κυΐσκουσαι καὶ ἀνδράσιν ὁμιλοῦσαι στερηθῶσι
13.320 τούτων, ὡς ὁρᾷν τοῦ ὑγροῦ καὶ ψυχροῦ ἐν ἑαυτοῖς σπέρματος καταψύχοντος τὸ πᾶν σῶμα. πρὸς οὖν τοὺς ἀπὸ τῆς ὑστέρας πνιγμοὺς ἁρμόζει πινομένη ἀγαρικοῦ ‹ α´. ἐν οἴνῳ, ἀρνογλώσσου καρπὸς καὶ χυλὸς σὺν οἴνῳ. ὄνυξ ὁ ἐκ κοκχύλης πινόμενος. ὄξος σκιλλητικὸν ῥοφούμενον. ὀσφραινόμενα δὲ ἐπεγείρει τὰς πνιγομένας, ἄσφαλτον, καστόριον, χαλβάνη, πίσσα ὑγρὰ, κεδρία, τρίχες καεῖσαι καὶ πήγανον, κρόμμυον, σκόροδον. ὑποθυμιᾶται δὲ καὶ πρὸς τὰ αὐτὰ καὶ κέρας ἐλάφου καὶ πήγανον σὺν μέλιτι, ἐρίῳ ἀναληφθὲν προστίθεται τῷ δακτυλίῳ.